Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Hypomne?stikon biblion Io?se?ppou.

https://hdl.handle.net/1874/379840

Hs.
1 C 7

17. (gr. 18). Charta 4° = 66 ff.
saec. XVIII.
Josephus (Christianus):
Hypomnesticon. Acc. alia
quaedam –

Aevum vetus.
Scriptores graeci.
No. 18

1. C. 7
Tiele 17

Ὑπομνηστικὸν βιβλίον Ἰωσήππου.

Στίχοι Λέοντος τοῦ βασιλέως,
εἰς αἴνιγμα πδ' καὶ κρῖνον δεδειγμένοι,
εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον.

Διαθῆκαι τῶν ιβ πατριαρχῶν,
coll. cum impressis in Spicil. PP. Sec. I. p. 160 s.

Descr. Cantabrigiae a. 1706. ex Codice membranaceo 4° Bibliothecae Publicae, qui olim fuit Theodori et postea Matthaei Parkeri Archiepiscoporum Cantuariensium, et praeter Opuscula memorata etiam continet Παραλειπομένων τῶν βασιλειῶν α' et β'. v. Cat. MSS. p. 172.

ACADEMIA RHENO TRAIECTINA

…um vetus.
…ores graeci.
…78

Hic Josephus ὁ τοῦ ὑπομνηστικοῦ auctor, non Iudaeus Historicus, sed manifeste Christianus fuit, quem
eundem cum Josepho Tiberiensi, ex Iudaeo Christiano, & a Constan-
tin. ad Comitis dignitatem evecto (de quo prolixe Epiphanius [illegible]
naeorum haeresi,) putaverat Isaacus Vossius, in eademque senten-
se aliquamdiu fuisse testatur v. cl. Gu. Caveus Hist. Li-
p. 38. quam tamen postea sententiam haud probabilibus ar-
mentis ipse confutatam dedit. G. Olear. in Obs. Sa-
ad Evac. Matth. 11. 23. etc.

Codd. MSS. Graeci
n°. 69.

+ ὑπομνηστικὸν βιβλίον α΄ ἰωσήππου·
ὅσαι γεγόνασιν ἀπὸ τοῦ ἀδὰμ ἕως
τῆς τοῦ χρς παρουσίας γενεαί.

ἀδάμ· β σήθ· γ ἐνώς· δ καϊνᾶν· ε α
μαλελεήλ· ς ἰάρεδ· ζ ἐνώχ· οὗτος
μετετέθη· καίπερ ἔτι ζῶν καὶ φυλαττόμενος·
η μαθουσάλα· θ λάμεχ· ι νῶε· οὗτος
ἐκ τοῦ κατακλυσμοῦ διασώζεται ἐν
λάρνακι μετ' οἴκου παντός· τρεῖς δὲ
αὐτῷ γεγόνασι παῖδες· σήμ· χάμ·
ἰάφεθ· ἡ δὲ γενεαλογία εἰς τὸ ἑβραί-
ων ἐρχομένη γένος, ἀπὸ τοῦ σὴμ συ-
νίσταται· ια σήμ· ιβ ἀρφαξάδ· ιγ σάλα·
ιδ ἔβερ· ιε φαλέκ· ἐπὶ τούτου ἐμερίσθη
ἡ γῆ· πληροῦται γὰρ ἐπ' αὐτὸν ἀπὸ
ἀδὰμ ἔτη ... ὡς εἶναι τὸ ἥμισυ τοῦ χρόνου
τῆς παρούσης ἐν ἑξάδι χιλιάδων καταστάσεως. Def. ms.
ις ῥαγαῦ· ιζ σερούκ· ιη ναχώρ· ιθ θάρα·
κ ἀβραάμ· ὃς ἀπὸ τῆς χαλδαίας εἰς
τὴν χαναναίαν θείῳ μετοικίζετο
προστάγματι· κα ἰσαάκ· κβ ἰακώβ·
οὗτος ἐγέννησε τοὺς δώδεκα φυλάρχους·
ἐξ ὧν τὸ δωδεκάφυλον τοῦ ἰηλ συνίσταται·
ἀπὸ δὲ τοῦ ἰούδα· ὃς ἦν τέταρτον αὐτῷ
γόνος τὸ βασιλικὸν παράγεται γένος·
κγ ἰούδας· κδ φαρές· κε ἑσρώμ· κς
ἀράμ· κζ ἀμιναδάβ· ἐπὶ τούτου ἡ ἀπ' αἰγύπτου
ἔξοδος τοῦ λαοῦ μωϋσέως ἡγουμένου
γεγένηται· κη ναασσών· κθ σαλμών·
ἠγάγετο τὴν ῥαὰβ τὴν τοὺς κατασκόπους
κατακρύψασαν· λ βοός· οὗτος τὴν μωαβῖτιν

τῆς ὑπουργητικῆς αὐτοῦ,

ῥοὺθ ἠγάγετο· ὅστις δέκατος ἀπὸ
ἀβραάμ· καὶ πληροῦται ἐπὶ τῆς
ῥοὺθ τὸ προρρηθὲν ὑπὸ μωϋσέως· μω-
αβίτις οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν
κυρίου μέχρι γενεᾶς δεκάτης· λα ὠ-
βήδ· λβ ἰεσσαί· λγ δαβίδ· ὃς χρίεται
τοῦ λαοῦ βασιλεὺς δι' ἐπιείκειαν εὑρεθεὶς
ἀπὸ θεοῦ ἄρχειν τοῦ λαοῦ· λδ σολομῶν·
ὃς τὸν ναὸν τὸν ἐν ἱεροσολύμοις ἐδεί-
ματο· λε ῥοβοάμ· ἐφ' οὗ ἡ βασιλεία
τοῦ δαβὶδ διῃρέθη· καὶ τὸν ἱεροβοάμ
ὁ ἰσραὴλ ἔστησεν δέκα φυλῶν βασιλέα με-
ρισθεὶς ἀπὸ τοῦ ἰούδα· λϛ ἀβιά· λζ
ἀσά· λη ἰωσαφάτ· λθ ἰωράμ· μ ὀ-
χοζίας· μα ἰωάς· μβ ἀμασίας· μγ
ὀζίας· μδ ἰωάθαν· με ἀχάζ· μϛ
ἐζεκίας· ἐφ' οὗ ὁ ἰσραὴλ αἰχμάλωτος ἤχθη·
μζ μανασσῆς· μη ἀμών· μθ ἰω-
σίας· ν ἰεχωνίας· ὁ καὶ ἰωακείμ· αἰχ-
μάλωτος ἤχθη εἰς βαβυλῶνα· να
σαλαθιήλ· νβ ζοροβάβελ· ἐφ' οὗ ἡ τοῦ
ἰούδα αἰχμαλωσία ἀνήχθη ὑπὸ κύρου
βασιλέως περσῶν· νγ ῥησά· νδ ἰωαν-
να· νε ἰωδά· νϛ ἰωσήχ· νζ σεμεΐ·
νη ματθάν· νθ ναγγαί· ξ ἐσλί·
ξα ναούμ· ξβ ἀμώς· ξγ ματταθί· ξδ
ἰωσήφ· ξε ἰαννά· ξϛ μελχί· ξζ λευΐ· ξη
ματθάν· ξθ ἠλεί· ο ἰωσὴφ ὁ τῆς παρ-
θένου μαρίας τῆς θεοτόκου μνηστήρ· τῆς
τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν τὸν προϋπάρχον-
τα θεὸν λόγον· θεοῦ συναΐδιον ὄντα τῷ
πατρί, τετοκυίας·

ὅσοι γεγόνασιν ἀρχιερεῖς ἀπὸ τοῦ
ἀαρῶνος ἀρξάμενοι·

Τοῦ ἰακὼβ τρίτος γέγονε παῖς λευῒς· β
τοῦ δὲ λευῒ, καάθ· τοῦ δὲ καὰθ, ἀμβράμ·
ἐξ οὗπερ γίνονται ἀαρὼν καὶ μωϋσῆς·
καὶ ὁ μὲν μωϋσῆς, ἡγεμόνευσε τῆς
τοῦ λαοῦ ἐξ αἰγύπτου πορείας· ἀαρὼν
δὲ πρῶτος ἀρχιερεὺς ὑπὸ τοῦ μωϋσέως
χρίεται· α ἀαρών· β ἐλεάζαρ· γ φινεές·
δ ἐβιέζερ· ε βοκχί· ϛ ὀζή· ζ ἡλί· η ἀχιτώβ·
ἐφ᾽ οὗ σαμουὴλ προφήτης ἦν καὶ ἱερεὺς
ἅμα καὶ κριτὴς τοῦ λαοῦ· θ ἀχιμέλεχ·
ὃς ἀναιρεῖται ὑπὸ τοῦ σαοὺλ μετὰ τριακοσίων
πεντήκοντα ἱερέων διὰ τὴν τοῦ δαβὶδ δεξίωσιν·
ι ἀβιάθαρ· ὃς καὶ μόνος διασωθεὶς ἀπὸ
τῶν ἀναιρεθέντων ἱερέων, κατέφυγεν
ἐπὶ τὸν δαβίδ· ια σαδώκ· ἐφ᾽ οὗ ὁ
ναὸς ὑπὸ σαλομῶνος ὠκοδομήθη· ιβ
ἀχιμαάς· ιγ ἀζαρίας· ιδ ἰωράμ· ιε
ἰωδαέ· οὗτος ἔζησεν ἔτη ἑκατὸν τριάκοντα·
ὃς καὶ τὴν γοθολίαν ἐξαλεῖψαι τὸ
τοῦ δαβὶδ γένος βουλομένην, ἀνεῖλεν·
ιϛ ἀξιωράμ· ιζ φειδαῖος· ιη σωβαῖος·
ιθ ἰῆλος· κ ἰώθαμος· κα οὐρίας· οὗτος
ἐπὶ ἄχαζ καὶ ἐζεκίου ἱεράτευσεν· κβ ἰηρή·
κγ ἰωασσή· κδ σελούμ· κε χελκίας· ὃς
ἐπὶ τοῦ ἰωσίου τοῦ εὐσεβοῦς βασιλέως ἱεράτευσεν·
κϛ σαραίας· κζ ἰωσεδέκ· ἐφ᾽ οὗ ὁ λαὸς
αἰχμάλωτος ὑπὸ τοῦ ναβουχοδονόσορ ἤχθη· κη
ἰησοῦς ὁ τοῦ ἰωσεδέκ· ἐφ᾽ οὗ ὁ ἰουδαὶς ἀπὸ τῆς
αἰχμαλωσίας ὑπὸ κύρου ἀνήχθη· καὶ μετὰ τοῦ

ζοροβάβελ τοῦ λαοῦ προεστώς· κθ ἰωα-
κείμ· ἐπὶ τούτου νόμους ἔσδρας ἀνέγνω·
λ ἐλιασήβ· λα ἰώδας· ἐφ' οὗ τὰ κατὰ
ἐσθὴρ καὶ μαρδοχαῖον· λβ ἰωάννας·
λγ ἰαδδαῖος· ἐφ' οὗ ὁ ἐν γαριζὴν ναὸς
ᾠκοδομήθη· λδ ὠνίας· λε σίμων·
λς ἐλεάζαρος· ἐφ' οὗ οἱ βίβλοι τῶν
ἑβδομήκοντα δύο· πτολεμαίου τοῦ
δευτέρου βουληθέντος, ἑρμηνεύθησαν·
λζ μανασσῆς· λη ὀνανίας· ἐπὶ τούτου
τὰ δεινὰ ὑπὸ ἀντιόχου τοῦ ἐπιφανοῦς
ἐπὶ τῶν μακκαβαίων συμβέβηκε·
λθ σίμων· μ ὠνίας· μα ἰησοῦς· μβ
ὠνίας· μγ ἄλκιμος· ὃν ὁ ἀντίοχος
κατέστησεν οὐκ ὄντα τοῦ ἀρχιερατικοῦ
γένους, ἀνελὼν τὸν ὠνίαν· ἐπὶ τούτου,
ὠνίας ὁ τοῦ ὠνίου υἱὸς φυγὼν εἰς αἴ-
γυπτον, ναὸν ὅμοιον τὸν ἐν ἱεροσολύμοις,
ᾠκοδόμησεν ἐν τῷ ἡλιουπολίτῃ νομῷ·
μδ ἰούδας ὁ μακκαβαῖος, ἐκ τῶν
ἀσαμωναίου· με ἰωνάθης ἀδελφός·
μς σίμων ἀδελφός· μζ ἰωάννης ὁ
καὶ ὑρκανός· μη ἀριστόβουλος· ὃς καὶ διά-
δημα πρῶτος περιτέθηκε· μθ ἰαν-
ναῖος ὁ καὶ ἀλέξανδρος· Ν ὑρκανός·
ἐφ' οὗ πομπήϊος ὁ ῥωμαίων βασιλεὺς
εἰς τὸ ἱερὸν ἐπιβάς, τὰ κειμήλια ἀφείλε-
το· να ἀντίγονος· ὃς πάρθους ἐπηγάγε-
το κατὰ ὑρκανοῦ, ὑπὸ ἡρώδου ἐκβαλλομένου
τῆς ἱερωσύνης· νβ ἀνάνηλος· ὁ ὑπὸ
ἡρώδου κατασταθεὶς οὐκ ὢν τοῦ ἀρχιερα-
τικοῦ γένους· νγ ἀριστόβουλος, ὃν ἡρώδης

καθίστησι τὸν ἀνάνηλον ἐξομοσάμενος·
καὶ πάλιν δολοφονήσας, τὸν ἀριστόβουλον
καθίστησι τὸν ἀνάνηλον· ΝΔ πάλιν ἀνάνηλος·
ΝΕ ἰησοῦς ὁ τοῦ φαυβῆ· ΝϚ σίμων ὁ
ἡρώδου κηδεστής· ΝΖ ματθίας· ΝΗ ἰώσηππος·
τὴν τῆς νηστείας ἡμέραν ἀντὶ ματθίου·
ΝΘ ἰώζαρος· Ξ ἐλεάζαρος· ἐφ' οὗ ἡρώδης
ἀπέθανεν· ΞΑ ἰησοῦς ὁ τοῦ σεέ· ΞΒ ἄνανος·
οὗτος ἐστὶν ὁ καϊάφα πενθερός· ΞΓ ἰσμαῆλος
ὁ τοῦ βιαβῆ· ΞΔ ἐλεάζαρος ἀνάνου· ΞΕ
σίμων καθήμης· ΞϚ καϊάφας ὁ καὶ
ἰώσηππος· ἐφ' οὗ τὸ σωτήριον ἡμῶν πάθος θ̊
ὁ κύριος ὑπέμεινε· ΞΖ ἰωνάθης ἀνάνου·
ΞΗ θεόφιλος ἀδελφός· ΞΘ σίμων βοηθοῦ·
Ο πάλιν ἰωνάθας ὁ ἀνάνου· ΟΑ ματθίας
ἀδελφός· ΟΒ ἠλεὶ ὁ νέος· ΟΓ ἠσίωπος ~~[illegible]~~
κάμηθ· ΟΔ ἀνανίας ὁ τοῦ νεβεδαίου· ΟΕ
ἰωνάθης· ΟϚ ἰσμαῆλος φαβίου· ΟΖ ἰώσηππος
κάβης· ΟΗ ἄνανος ἀνάνου· ὁ ἰάκωβον
ἀποκτείνας τὸν δίκαιον τὸν ἀδελφὸν τοῦ κυρίου·
τούτῳ καὶ ὁ παῦλος εἶπε· τύπτειν σε μέλλει
ὁ θεός, τοῖχε κεκονιαμένε· ΟΘ ἰησοῦς ὁ
γαμαλιήλ· Π ματθίας θεοφίλου· ἐφ' οὗ
ὁ πρὸς ῥωμαίους πόλεμος ἀρχὴν εἴληφε
ἔτους ὀγδόου κλαυδίου· ΠΑ φινεάς· ἐφ' οὗ
ἡ πόλις καὶ ὁ ναὸς καὶ τὸ ἔθνος ὑπὸ τίτου
ἑάλω, καὶ πάντα τὰ κατὰ τὸν ναὸν κατελύθη· +

ΤΙΝΕΣ ΟΙ ΕΚ ΤΟΥ ΚΑΪΝ ΓΕΝΝΩΜΕΝΟΙ· Γ
ΚΑΙ ΕΙΣ ΕΒΔΟΜΗΝ ΓΕΝΕΑΝ ΑΝΕΘΗΚΑΝ·

Α καΐν· Β ἐνώχ· Γ γαϊδάδ· Δ μαϊήλ·
Ε μαθουσάλα· Ϛ λάμεχ· Ζ ἰωβήλ· καὶ
ἰουβάλ καὶ θοβέλ· ἐπὶ δὲ τούτων ἡ πα-
νόλεθρος τοῦ καΐν γέγονε διαφθορά· +

τῆς νουνεχικῆς αὐτοῦ,

πριάρ.

δ Τίνες εἰσὶν οἱ ἐκ τοῦ κατακλυσμοῦ ἐν τῇ κιβωτῷ διασωθέντες.
Νῶε. καὶ υἱοὶ τρεῖς· σὴμ· χὰμ· ἰάφεθ· καὶ αἱ τέσσαρες τούτων γυναῖκες.

ε Τίνες εἰσὶν οἱ ιβ τοῦ ἰακὼβ παῖδες οἱ τοῦ λαοῦ πατριάρχαι·
Ἐκ μὲν λίας, ῥουβὶμ· συμεὼν· λευΐ· ἰούδας· ἰσσάχαρ· ζαβουλών· ἐκ δὲ ῥαχὴλ, ἰωσὴφ· βενιαμίν· ἐκ δὲ βαλλὰς, δάν· νεφθαλείμ· ἐκ δὲ ζελφὰς, γάδ· ἀσήρ· οὗτοι ἐν οε ψυχαῖς κατέβησαν εἰς αἴγυπτον·

ϛ Τίνες εἰσὶν οἱ οε μετὰ τοῦ ἰακὼβ εἰς αἴγυπτον καταλύσαντες.
α ῥουβὶμ ὁ πρωτότοκος· καὶ οἱ υἱοὶ αὐτοῦ· ἐνώχ· φαλλούς· ἀσρώμ· χαρμῆς· β συμεὼν καὶ οἱ υἱοὶ αὐτοῦ· ἰεμουήλ· ἰαμίν· ναὼθ· ἰαχείμ· σαάρ· σαούλ· γ λευΐς καὶ οἱ υἱοὶ αὐτοῦ· γεδεών· καάθ· μεραρί· δ ἰούδας καὶ οἱ υἱοὶ αὐτοῦ· σηλώμ καὶ φαρές· υἱοὶ δὲ φαρὲς, ἐσρώμ, ἰεμουήλ· ε ἰσσάχαρ καὶ οἱ υἱοὶ αὐτοῦ· θωλὰ· φουά· ἰασούβ· ἀμβράμ· ϛ ζαβουλὼν καὶ οἱ υἱοὶ αὐτοῦ· σέδερ· ἀλλών· ἀϊήλ· οὗτοι ἐκ λίας, λ· ζ γάδ καὶ οἱ υἱοὶ αὐτοῦ· σαφών· ἀγγῆς· σαυνῆς· θασοβάν· ἀδῆς· ἀροδ· ἀρεηλῆς· η ἀροηλῆ· η ἀσήρ καὶ οἱ υἱοὶ αὐτοῦ· ἰεμνά· ἐσσού· ἰεουλ· βαριά· σάρρα ἀδελφή· υἱοὶ δὲ βαριά, χοβὲρ· μελχιήλ· οὗτοι ἐκ [illegible] ζελφὰς, ιϛ· θ ἰωσὴφ καὶ οἱ υἱοὶ αὐτοῦ οἱ τεχθέντες ἐν αἰγύπτῳ· μανασσῆς, καὶ ἐφραΐμ· σουτάλ· ταλαμέδεμ· ι βενιαμίν, καὶ οἱ υἱοὶ αὐτοῦ· βαλλά· φούς· ἐβήλ· υἱοὶ βαλλά· γηρᾶ· νοεμάν· ἰαχῆς· ῥώς· μαμφὴν· υἱοὶ γηρᾶ· ἀράδ· οὗτοι ἐκ τῆς ῥαχὴλ, ιη· ια δάν· καὶ ὁ υἱὸς αὐτοῦ ἀσώμ· ιβ νεφθαλείμ, καὶ οἱ υἱοὶ αὐτοῦ· ἀσιήλ· γωυνῆ· ἀσσὲρ· συλλήμ· οὗτοι ἐκ βαλλὰς ζ· ὁμοῦ οβ· καὶ ὁ πατὴρ ἰακώβ· καὶ δεῖνα ἡ θυγάτηρ· καὶ λία· ὁμοῦ ψυχαὶ ἑβδομήκοντα πέντε :~

Τίνες εἰσὶν οἱ τοῦ Σαμουὴλ πρόγονοι ἱερατικοί· ζ
α΄ Κορέ· ὁ ἐπισυστὰς ἐπὶ Μωϋσῆ· β΄ Ἠλὲκ υἱὸς
Ἐλκανᾶ· γ΄ Ἐνασὶφ· δ΄ Ἐλιάβ· ε΄ Ἱεροβοάμ· ς΄ Ἐλκανᾶ·
ζ΄ Σαμουήλ· ἐξ οὗ γεγόνασιν υἱοὶ β΄ Ἰωήλ, καὶ Ἀβιά·
καὶ δωροληπτοῦντες, οὐκ ἄξιοι τῆς πατρικῆς διαδοχῆς
εἶναι ἐκρίθησαν·
Τίνες δὲ οἱ τοῦ Ἠλεὶ πρόγονοι ἱερατικοί· η
α΄ Καάθ· β΄ Ἀβιζώρ· γ΄ Ἀβιμέλεχ· δ΄ Ἀβιάθαρ·
ε΄ Ὀζιού· ς΄ Νάθαν· ζ΄ Ἠλεί· ἐξ οὗ γεγόνασιν υἱοὶ β΄·
Ὀφνὴ καὶ Φινεές· οἱ τὰς θυσίας ἐκτρυφῶντες·
ἀναιρεθέντες ἐν πολέμῳ τῶν ἀλλοφύλων·
Τίνες δὲ οἱ τοῦ Ἐζεκιὴλ τοῦ προφήτου πρόγονοι ιε
ἱερατικοί·
α΄ Ἰωσαδέκ· β΄ Φαλτίας· γ΄ Ἀμορρίας· δ΄ Ζακχώρ· ε΄
Σαλμά· ς΄ Ἐφεδλά· ζ΄ Μελχιήλ· η΄ Ἀλωρά· θ΄ Γο-
μορρίας· ι΄ Βαρούχ· ια΄ Σοφονίας· ιβ΄ Μαασσίας·
ιγ΄ Χελκίας· ιδ΄ Βουζί· ιε΄ Ἐζεκιήλ· ὁ ἐν τῇ
αἰχμαλωσίᾳ τοῦ Ἰούδα προφητεύσας ἐν Βαβυλῶνι.
Τίνες δὲ οἱ Ἱερεμίου τοῦ προφήτου πρόγονοι ι
ἱερατικοί·
α΄ Ἀαρών· β΄ Φινεές· γ΄ Ὀζίας· δ΄ Ῥαζαζίας· ε΄ Μαριώθ·
ς΄ Ἀμωρίας· ζ΄ Ἀβιτώβ· η΄ Σεδούκ· θ΄ Ἀχιμαάς·
ι΄ Τεθί υἱὸς Ἠλίας ὁ προφήτης καὶ Σαλωμά·
ια΄ Σαλώμων Ἰωράμ υἱός· ιβ΄ Ἀμὼς καὶ Ἰωσαδέκ·
ιγ΄ Σεδεκίας υἱὸς Ἰωσαδέκ· ιδ΄ Ἰωήλ· ιε΄ Οὐρίας·
ις΄ Κηρή· ιζ΄ Σαλωμά· ιη΄ Χελκίας· ιθ΄ Ἱερεμίας·
ὁ τὴν αἰχμαλωσίαν ἐν τῇ Ἰουδαίᾳ προφητεύσας·
Τίνες εἰσὶν οἱ τοῦ λαοῦ κριταὶ μετὰ ια
τὴν διανέμησιν τὴν ὑπὸ Ἰησοῦ τοῦ
Ναυῆ τῆς γῆς γεγενημένην γενόμενοι·
α΄ Χουσαρσαθὼμ ποταμῶν Συρίας βασιλεύς·
β΄ Γοθονιὴλ κριτής· γ΄ Ἰησοῦ τῷ Ναυῆ Αἰγλὼν
βασιλεὺς Μωαβιτῶν· δ΄ Ἀὼδ κριτής· ε΄ Ἰαβὴς
βασιλεὺς Χαναάν· ς΄ Δεβόρρα προφῆτις σὺν
Βαράκ· ζ΄ Μαδιναῖοι ἔθνος· η΄ Γεδεὼν κριτής·
θ΄ Ἀβιμέλεχ κριτής· ι΄ Θωλὰ κριτής· ια΄

ἐὶρ, κριτής· ΙΒ ἀμμανῖται ἔθνος· ΙΓ
ἰεφθάε κριτής· ΙΔ ἐσεβὼν κριτής· ΙΕ
ἀϊλὼν κριτής· ΙϚ ἀβδὼν κριτής· ΙΖ ἀλλόφυ-
λοι· ΙΗ σαμψὼν κριτής· ΙΘ σεμεγὰρ κριτής·
Κ ἀναρχία καὶ ζαμείρ κριτής· ΚΑ
εἰρήνη καὶ σαμωνίας κριτής· μετὰ δὲ
τούτους, ἱερεῖς ἔκριναν τὸν λαόν· ἡλεὶ καὶ
σαμουήλ· μετ' αὐτοὺς βασιλεῖς.

ΙΒ ΤΙΝΕΣ ἘΒΑΣΙΛΕΥΣΑΝ ΤΟΥ ΛΑΟΥ·
Α σαοὺλ· Β δαυίδ· Γ σαλομών· Δ ῥοβοὰμ
ἐφ' οὗ ἐμερίσθη ἡ βασιλεία· Ε ἀβιὰ· Ϛ
ἀσά· Ζ ἰωσαφάτ· Η ἰωράμ· Θ ὀχοζίας·
Ι γοθολία γυνή, μήτηρ τοῦ ὀχοζίου· ΙΑ
ἰωὰς· ΙΒ ἀμεσσίας· ΙΓ ὀζίας· ΙΔ ἰωάθαμ·
ΙΕ ἄχαζ· ΙϚ ἐζεκίας· ΙΖ μανασσῆς· ΙΗ
ἀμὼς· ΙΘ ἰωσίας· Κ ἰωακείμ, καὶ ἰεχο-
νίας· ΚΑ· ΚΒ σεδεκίας· ἐφ' οὗ καὶ ἡ
δευτέρα αἰχμαλωσία τοῦ ἰούδα γέ-
γονε, καὶ ὁ ναὸς ἐνεπρήσθη.

ΙΓ ΤΙΝΕΣ ΒΑΣΙΛΕΙΣ ΓΕΓΟΝΑΣΙ ΤΟΥ ἸΣΡΑΗΛ
ΜΕΤᾺ ΤΗΝ ἈΠΟ ἸΟΥΔΑ ΔΙΑΙΡΕΣΙΝ.
Α ἱεροβοὰμ· Β ναδάβ· Γ βαασά· Δ ἐλάς
Ε ζαμβρή· Ϛ Ζ ἀχαάβ· Η ὀχοζίας· Θ
ἰωράμ· Ι ἰοῦ· ΙΑ ἰωάχας· ΙΒ ἰωάς· ΙΓ ἱε-
ροβοάμ· ΙΔ ζαχαρίας· ΙΕ σελλούμ· ΙϚ μα-
ναήμ· ΙΖ φακεΐας· ΙΗ φακεέ· ΙΘ ὠσηὲ
οὗ ἐννάτω ἔτει ἡ καθαίρεσις τῆς βασιλείας
γέγονε.
ΤΙΝΕΣ ΠΡΟΦΗΤΑΙ ΓΕΓΟΝΑΣΙΝ ἘΝ ΤΩ ΘΕΙΩ ΛΟΓΩ
ΟἹ ΚΑΙ ΤΑΣ ΠΡΟΦΗΤΕΙΑΣ ἘΓΓΡΑΦΟΥΣ ΠΕΠΟΙΗΝΤΑΙ
Α μωϋσῆς· Β ἰησοῦς ὁ τοῦ ναυῆ· Γ δαυίδ· Δ
σολομών· Ε ἡσαΐας· Ϛ ἱερεμίας· Ζ ἰεζεκιήλ·
Η δανιήλ· ὠσηέ· ἰωήλ· ἀμώς· ἀβδιοὺ·
ἰωνᾶς· μιχαίας· ναοὺμ· ἀμβακοὺμ· σοφονίας·
ἀγγαῖος· ζαχαρίας· μαλαχίας· οὗτοι μὲν οἱ εἰκο

σι ἐγγράφους κατέλιπον αὐτῶν τὰς προφητείας· ·

Τίνες δὲ γεγόνασιν ἄλλοι προφῆται οἱ μὴ ἐν γράμμασιν αὐτῶν καταλείψαντες τὰς προφητείας. ιε

α ἀδάμ· β νῶε· γ ἀβραάμ· δ ἰσαάκ· ε ἰακώβ· ἐλδάδ· καὶ μωδάδ· σαμουὴλ· γάδ· νάθαν· ἀχίας ὁ σιλωνίτης· σαμαίας υἱὸς ἀνανί· μαλαχίας· ἀνανίας· ἠλίας· ἐλισσαῖος· μιχαίας υἱὸς ἰεμβλά· ἀβδαδών· βούζη· οὐρίας· σαμαίας· ἰάδων· ὁ ἐπὶ τῆς ἱεροβοὰμ τὴν πύρωσιν τοῦ ἐν βεθὴλ θυσιαστηρίου· καὶ τὴν καθαίρεσιν τῆς τοῦ ἰσραὴλ παρουσίας προφητεύσας· καὶ ἐπὶ τῆς παρουσίας † πολιτείας

τοῦ κυρίου ζαχαρίας ὁ τοῦ βαπτιστοῦ ἰωάννου πατήρ· συμεών· ἰωάννης ὁ βαπτιστής· ἄγαβος· καὶ ἄλλοι ἐπὶ τοῦ ἰσραὴλ γεγόνασι προφῆται· ἀζίας· ἰησοῦ υἱὸς ἀνανί.

Τίνες προφήτιδες γυναῖκες γεγόνασιν· ιϛ

α σάρρα· β ῥεβέκκα· γ μαρία ἡ τοῦ μωϋσέως ἀδελφή· δ σεπφόρα ἡ τοῦ μωϋσέως γυνή· δεβόρρα ἡ τὸν βαρὰκ ἐπὶ τὸν πόλεμον στείλασα· ὀλδά· ὀ ἄννα ἡ τοῦ σαμουὴλ μήτηρ· καὶ ἐπὶ τῆς • βαράκ

παρουσίας τοῦ κυρίου, ἐλισάβετ· καὶ μαρία ἡ θεοτόκος· καὶ ἄννα θυγάτηρ φανουὴλ ἐκ φυλῆς ἀσήρ·

Τίνες εὐσεβεῖς γεγόνασι βασιλεῖς. ιβ

α δαυίδ· ἀσά· ἰωσαφάτ· ἐζεκίας· ἰωσίας· σολομῶν δὲ καὶ ὀζίας πρὸς τὸ γῆρας ὠλιγώρησαν· ὁ μὲν γυναιξὶν ἐθνικαῖς ὑπαχθείς· ὁ δὲ ἱερατεύσασθαι ὑπερηφανίσας·

Τίνες βασιλεῖς ἠσέβησαν. ιθ

α ἰωράμ· β ὀχοζίας· γ ἰωάς· δ ἀμεσσίας· ε ἰωάθαμ· ϛ ἄχαζ· ζ μανασσῆς· η ἀμών· θ ἰάχας· ι σεδεκίας· σαοὺλ δὲ ὁ τῆς βασιλείας ἐγκαθιστάμενος φθονῶν τῷ δαυίδ, ἐξέπεσε τῆς εὐσεβείας, καὶ θεοῦ ἠνηκόησε· καὶ τέλος, ἐγγαστριμύθῳ προσπέφευγε.

[illegible]

κεφ. κᾱιθ. ...

ιη̄ ΤΙΝΕΣ ΨΕΥΔΟΠΡΟΦΗΤΑΙ ΕΝ ΤΩ ΛΑΩ ΓΕΓΟΝΑΣΙ

Σεδεκίας υἱὸς χανάα· ὁ μετὰ τῶν τετρακο-
σίων ψευδοπροφητῶν τῆς ἰεζάβελ ἀπατῶν
τὸν ἀχαὰβ εἰς τὴν ῥεμαὼθ πόλιν τῆς
γαλααὰδ παράληψιν· οἱ δὲ τῆς ἰεζάβελ
προφῆται· οὓς ἠλίας ἀπελέγξας διὰ τοῦ
πυρὸς διεχρήσατο. — πασχώρ· ὁ τὸν ἱερε-
μίαν ἐγκλείσας ἐν φυλακῇ· ὡς πρὸς
τὸν ναβουχοδονόσορ καταφεύγοντα· ἀνα-
νίας υἱὸς ἀζώρ, ὁ τὰ τοῦ ἱερεμίου ξύλινα
κλοιὰ συντρίψας ἐν ὑποδείγματι τοῦ τὸν
βαβυλώνιον συντρίβεσθαι· σαμαίας ὁ ἐν
βαβυλῶνι αἰχμάλωτος· ὁ καὶ σοφονίᾳ τῷ
ἱερεῖ γράφων ἐν τῇ ἐπιστολῇ τιμωρεῖσθαι τὸν
ἱερεμίαν· ὡς τοῖς ἐν βαβυλῶνι —
γράφοντα τὴν αἰχμαλωσίαν ἀποκλείουσιν· ἀχιαὰβ
υἱὸς κωλίου· καὶ σεδεκίας μαασίου καὶ
τὰ τοῦ ἱερεμίου προφητεύοντος· ἰεζονίας
ὁ τοῦ ἀζώρ· καὶ φαλτίας ὁ τοῦ βεναίου
παρὰ τῷ ἰεζεκιὴλ σημαινόμενοι·

ιθ̄ ΤΙΝΕΣ ΕΞΗΡΧΟΝ ΤΩΝ ΦΥΛΩΝ ΚΑΤΑ ΤΗΝ
ΕΞΟΔΟΝ ΤΗΣ ΑΙΓΥΠΤΟΥ·

Τῆς μὲν λευϊτικῆς φυλῆς μωϋσῆς καὶ ἀαρών·
τῆς δὲ ἰούδα, ἀμιναδάβ· τῆς δὲ ῥουβίμ,
ἐλισούρ· τῆς δὲ συμεών, σαλαμιὴλ· τῆς δὲ
ἰσάχαρ, σωγάρ· τῆς δὲ ζαβουλών, χελλών·
τῆς ἐφραΐμ, σεμιούλ· τῆς μανασσῆ, φα-
λασσούρ· τῆς βενιαμίν, γαδεών· τῆς δάν, ἀ-
χιεζὲρ· τῆς ἀσήρ, ἐχράν· τῆς — ἐφραγαλ-
μαγαλαν· τῆς νεφθαλεὶμ, ἐλαάμ· οὗτοι οἱ ἐν τῇ ἐξόδῳ
ἡγούμενοι, φύλαρχοι τοῦ λαοῦ· οἱ δὲ ἐν τῇ ἐρήμῳ
ἀπέθανον·

λ θάδ

Τίνας ἔσχε Μωϋσῆς υἱοὺς καὶ ἐκ τίνος; κ.

Ἐκ Σεπφόρας τῆς θυγατρὸς Ἰωθὼρ ἱερέως Μαδιάμ. πρῶτος Γηρσὼμ β Ἐλιέζερ.

Τίνας δὲ Ἀαρὼν ἔσχεν υἱούς. κα.

Ἐκ τῆς Ἐλισαβὲτ θυγατρὸς Ἀμηναδάβ. ἀδελφῆς δὲ Ναασσῶν. οἳ καὶ ἐκ τῆς φυλῆς Ἰούδα κατάγονται. α τὸν Ναδάβ. β τὸν Ἀβιούδ. γ τὸν Ἐλεάζαρ. δ τὸν Ἰθάμαρ.

Τίνα ἐστὶ τὰ ἔθνη ἃ ὁ λαὸς ἐκληρονόμησεν. κβ.

Χαναναῖον. Εὐαῖον. Γεργεσαῖον. Ἰεβουσαῖον. Χετταῖον. Ἀμορραῖον. Φερεζαῖον.

Τίνας βασιλεῖς καὶ τίνων ἐθνῶν ὁ λαὸς ἀπέκτεινεν. κγ.

Ἐπὶ τοῦ Μωϋσέως ἐκτάσει τῶν χειρῶν αὐτοῦ, τὸν Ἀμαλήκ. β διὰ Ἰησοῦ τοῦ Ναυῆ, τὸν Ἀδωνιβεζὲκ βασιλέα Ἱερουσαλήμ. καὶ τὸν Ἰλὰμ βασιλέα Χεβρῶν. καὶ τὸν Φεδὼν βασιλέα Ἱεριμοῦς. καὶ τὸν Σεφὰ βασιλέα Λάχης. καὶ τὸν Δαμὶς βασιλέα Ὀδολλάμ. καὶ τὸν Ἰαβὶν βασιλέα Ἀσσόρ. καὶ βασιλέα Σομορῶν. καὶ βασιλέα Ζίφ. καὶ ἄλλους βασιλεῖς ἕως τῆς Σιδονίας. τοὺς πάντας ὁ Ἰησοῦς ἀνεῖλε βασιλεῖς κθ. τὸν δὲ Σηὼν βασιλέα τῶν Ἀμορραίων, Μωϋσῆς ἀνεῖλεν. καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν. καὶ ὁ Ἰούδας δὲ ἀπέκτεινε τὸν Ἀδωνιβεζέκ. ἐξ τὰ ἄκρα τῶν ποδῶν πρότερον ἐξεδέμεν. ὅτε Γοθονιὴλ ὁ κριτὴς τῶν Χουσὰρ ἐλθὼν βασιλέως Συρίας. καὶ ὁ Ἀὼδ ὁ ἀμφοτεροδέξιος τῶν Αἰγλὼν βασιλέα Μωαβιτῶν

δόλῳ διαλεξάμενος αὐτὸν τῇ λαίᾳ χειρί. Δεβόρρα δὲ διὰ τοῦ Βαρὰκ τὸν Σισάρα βασιλέα Ἰακίς. ὃν Ἰαὴλ γυνὴ πασσάλῳ διὰ τῶν ὤτων διήλασε. Γεδεὼν τε τὸν Ὠρὴβ Μαδιὰμ βασιλέα. καὶ Ἰεφθάε δὲ τὴν τοῦ Ἀμαλὴκ βασιλείαν.

κδ. Πόσα ἔθνη καὶ τίνα συνέστη ἀπὸ τῶν τριῶν τοῦ Νῶε παίδων. Σὴμ. Χάμ. Ἰάφεθ.

Ἑβραῖοι. Ἀσσύριοι. Πέρσαι. Μῆδοι. Ἄραβες. Μαδιανοί. Ἀδιαβηνοί. Ταϊηνοί. Ἀλαμοσινοί. Σαρακηνοί. Μάγοι. Κάσπιοι. Ἀλβανοί. Ἰνδοί. Αἰθίοπες. Αἰγύπτιοι. Λύβιες. Χετταῖοι. Χαναναῖοι. Φερεζαῖοι. Εὐαῖοι. Ἀμορραῖοι. Γεργεσαῖοι. Ἰεβουσαῖοι. Ἰδουμαῖοι. Σαμαρεῖται. Φοίνικες. Σύροι. Κίλικες. Καππαδόκαι. Ἀρμένιοι. Ἴβηρες. Βεβρανοί. Σκύθαι. Κολχοί. Σαμνοί. Βόσποροι. Ἀσιανοί. Ἴσαυροι. Λυκάονες. Πισίδαι. Γαλάται. Παφλαγόνες. Φρύγες. Ἕλληνες. οἱ καὶ Ἀχαιοί. Θετταλοί. Μακεδόνες. Θρᾶκες. Μυσοί. Βεσσοί. Δαρδανοί. Σαρμάται. Γερμανοί. Παννόνιοι. Παίονες. Νωρικοί. Δαλμάται. Ῥωμαῖοι. Λίγυρες. Γάλλιοι. καὶ Κελτοί. Σπάνοι. καὶ Τυρρηνοί. Μαυρούσιοι. Μακουακοί. Σελγκοί. Ἄφροι. Μάζικες. Γαραμάντες. οἱ καὶ Βοράδες. ἕως τῆς Αἰθιοπίας ἐκτείνουσιν.

κέ. Τὰ ἐν τῇ παλαιᾷ ἐνδιάθετα βιβλία κβ.

α. Βρισήθ. ὅπερ ἐστὶν ἐν ἀρχῇ ἐποίησεν:
β. Οὐελεσμὼθ. ὅ ἐστι ταῦτα τὰ ὀνόματα:
γ. Οὐεκρὰ. ὅ ἐστι καὶ ἐκάλεσεν:
δ. Ἀμμὲς φεκοδίμ. ὅ ἐστιν ἀριθμοί:
ε. Ἐλεάδε βαρὶμ. δευτερονόμιον ἤτοι οἱ λόγοι:

ἀπέθανον.

Conf. quae ad hoc Cap. annotavit <u>Olearius</u> in Obs. Philol. de Oraculo Matthaei II. 23. citato.

5. Ἰεσεβενδὴ· Ἰησοῦς ὁ τοῦ Ναυῆ·
ζ'. Ἰωσαφατὴμ· κριταί· η'. Ῥοὺθ· θ'. Σαμουὴλ·
ὅπερ ἑρμηνεύθη ὁ κλητός·
ι. Οὐαμμελὲχ Δαυΐδ· ὅ ἐστι βασιλέως Δαυΐδ.
ια'. Δαβρῆ ἰωσακείμ ὅ ἐστι λόγοι ἡμερῶν·
ιβ'. Ἔσδρας· ὅπερ ἐστὶ βοηθὸς βίβλος·
ιγ'. Σφαρθελλὶμ ὅ ἐστι βίβλος ψαλμῶν·
ιδ'. Μελδὼθ· παροιμίαι· ιε'. Ὀκωὲλ, Ἐκκλησίας
τύπος· ις'. Σισὰμ σιρὶμ· Ἄσμα ἀσμάτων·
ιζ'. Προφῆται ιβ'. ιη'. Ἡσαΐας· ιθ'. Ἱερεμίας· κ'.
Ἰεζεκιὴλ. κα'. Δανιὴλ. κβ'. Ἰὼβ· Ἔξω δὲ τούτων,
Ἐσθήρ· καὶ τὰ Μακκαβαϊκά· ἅπερ ἐπιγέ-
γραπται, Σαρβὴθ σαβαναιέλ.

## κς'. Ὀνομασίαι καὶ ἑρμηνεῖαι τῶν παρ' Ἑβραίοις Στοιχείων.

α'. Ἄλφ, μάθησις· βὲθ. οἴκου· γημὲλ, πλήρωσις. Δα-
λέθ. δέλτων· ἤ, αὕτη· οὐαυ· ἐν αὐτῇ· Ζαΐ, ζῆ·
ἠθ. ζωή. τηθ. καλή. ἰὼθ. ἀρχή, κὰφ, ὅμως.
λάμδ· μάθετε. μὴμ. ἐξ αὐτῶν. νοῦν, αἰώνια.
Σάμχ· βοήθεια. Αἴν, πηγὴ ὀφθαλμοῦ. φῆ. στό-
μα. Σαδὶ, δικαιοσύνη. κὼφ, κλῆσις. Ῥῆς, κεφα-
λῆς. Σὲν ὠ, ὀδόντες. Θαῦ, σημεῖα· ὁμοῦ ἀπαρτί-
ζει τοιαύτην διάνοιαν· μάθησις οἴκου, πλήρωσις
δέλτων αὕτη. ἐν αὐτῇ ζῇ ὁ ζῶν. καλὴ ἀρχή·
ὅμως μάθετε ἐξ αὐτῶν αἰώνια. βοήθεια. ὀφθαλ-
μοῦ στόμα καὶ δικαιοσύνην· κλῆσις κεφαλῆς, καὶ
ὀδόντων σημεῖα.

## κζ'. Μῆνες Ἑβραίων, Αἰγυπτίων· Μακεδόνων· Ῥωμαίων·

Νησὰν· Φαρμουθί· ξανθικός· Ἀπρίλλιος:| Εἰάρ, πάχων.
ἀρτεμίσιος· μάϊος:| σιουὰν· παυνή· δέσιος· ἰούνιος:|

θαμμὴζ· ἐπὶφ· πάνεμος· ἰούλιος:| ἀβ· μεσωρή· λῶος·
αὔγουστος:| ἐλοὺς· θὼθ· γορπιαῖος· σεπτέμβριος· ἐσρεὶ·
φαωφί· ὑπερβερής· ὀκτώβριος· μαρσεβάν· ἀθύρ· διος·
νοέμβριος· χασελεῦ· χυάκ· ἀπηλλαῖος· δεκέμβριος· τη-
βήθ· τύβη· αὐδυναῖος· ἰανουάριος· σαβάθ· μεχήρ· περίτιος·
φευρουάριος:| ἀδάρ· φαμενώθ· [redacted] δύστρος· μάρτιος:~

Ὅπως τὸ ἱερὸν κατεσκευάζετο χρίσμα. κή.
Ἄνθους [redacted] σμύρνης ἐκλεκτῆς, σίτλοι φ̄, ποιεῖ γόμορ κε̄.
γίνονται βρ̄π̄· ἐν τῷ ἁγίῳ σταθμῷ ὁ σίτλος ὁ εἷς Ν̄ ακ·
ἤγουν ββ̄ἑξ· κινναμώμου εὐώδους τὸ ς̄· [redacted] σίκλου ς̄Ν̄· ΙΟ ΙΟ ξβ̄ς +
[redacted] γίνονται [redacted] καλάμου εὐώδους σίτλοι [redacted] ς̄Ν̄· βσε̄·
[redacted] ἰρέως σίτλα φ̄ [redacted]. ἐλαίου ἐξ· ἐλαίων ἐν
ῷ ποιεῖ χθ· ὁμοῦ [redacted] ↑↑λ̄:~

Ὅπως τὸ ἱερὸν κατεσκευάζετο θυμίαμα.
Στακτὴν· [redacted] χαλβάνην· λίβανον· δάφνην· ἴσον ὄνυχα·
ἴσῳ φησὶν [redacted] ἔσται. χθ́.

Τίνες γεγόνασι γίγαντες.
Πρῶτοι ἐκεῖνοι οἱ ταῖς θυγατράσι τῶν ἀνθρώπων
συμπλακέντες τῶν δαιμόνων γεννηθέντες· δι' οὓς
καὶ ὁ κατακλυσμὸς ἐγένετο· εἴκοσι καὶ ἑκατὸν
ἐτῶν γεγονότων αὐτῶν· περὶ ὧν καὶ Μωϋσῆς φη-
σίν· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος [redacted] ἄνδροι
[redacted] οἱ ὀνομαστοί. δεύτερος ὁ Νεβρὼθ ὁ κυνηγὸς ὁ
τῆς Βαβυλῶνος ἀρξάμενος βασιλεύς· [redacted] οὗ καὶ
Μωϋσῆς μέμνηται ὡς ἐν παραδείγματι μυθευομένους
λέγων· διὰ τοῦτο ἐροῦσιν ὡς Νεβρώθ, γίγας κυνηγὸς
ἔναντι τοῦ θεοῦ. ἐγένοντο δὲ καὶ ἐν Ἀσταρὼθ καρ-
νέμ, γίγαντες, οὓς κατέκοψε Χοδολογομὸρ βασιλεὺς
Ἐλλάμ· μετὰ ταῦτα ἐν τῇ Χεβρὼν, τρεῖς οἱ τοῦ σεννακ
[redacted] υἱοί· οὕστινας Χαλὲβ ὁ τοῦ [redacted] ἰεφωνῆ λαβὼν ἐν
κλήρῳ [redacted] τὴν πόλιν ἐξωλόθρευσε· καὶ ἐπὶ τοῦ βασι-
λέως Δαυὶδ γεγόνασι γίγαντες δ̄· οὓς καὶ ἀναιροῦσιν
οἱ τοῦ Δαυὶδ στρατηγοί· ἰεσβὴ, ὃν ἀνεῖλεν Ἀβισαί·

Σεθ, ὃν ἀνεῖλε Σοβοχὴς ὁ Ἀσουθί. Ἐλαιὰν, ὃν ἀνεῖλεν
Ἀριὼν ὁ Βηθλεεμίτης. τέταρτος δὲ μᾶλλον ὁ ἑξα-
δάκτυλος ὃν ἐπάταξεν Ἰωνάθαν υἱὸς Σαμαίου ἀδελ-
φοῦ Δαυίδ. καὶ Γολιὰθ δὲ ὁ Χετταῖος ἐν τοῖς γίγα-
σιν ἀριθμεῖται. ὃν, νέος ὢν Δαβὶδ σφενδονίσας ἀνεῖ-
λεν, οὗ καὶ τὸ δόρυ ἀνελόμενος ἀνέθηκεν εἰς τὸ ἱε-
λ'. ρόν. Τίνες πολύπαιδες γεγόνασιν.
Ἰακὼβ, τρισκαίδεκα παῖδας ἐσχήκει. Γεδεὼν ὁ κρι-
τὴς, ο̄. οὓς καὶ ἀνεῖλεν ὁ νόθος αὐτοῦ παῖς Ἀβιμέλεχ,
τὴν ἀρχὴν ἑαυτῷ τοῦ λαοῦ περιποιούμενος. Ἰαείρ,
ὁ κριτὴς ὁ Γαλααδίτης, λβ̄ παῖδας καὶ οὗτος ἐκυη-
σατο. Λάβδων καὶ αὐτὸς ἐν τοῖς κριταῖς γεγονὼς,
λ̄ πατὴρ παίδων γεγόνει. Δαβὶδ κβ̄ τοὺς πάντας ὁ
βασιλεύς. Ῥοβοὰμ ὁ τοῦ Σαλομῶνος υἱὸς, υἱοὺς κη̄. καὶ
θυγατέρας ξ̄. Ἀβίας υἱὸς, υἱοὺς κβ̄, καὶ θυγατέρας ιϛ̄.
Ἀχαὰβ ὁ τοῦ Ἰσραὴλ βασιλεὺς ο̄ υἱοὺς, οὓς ἀπέκτει-
νεν Ἰηοῦ:
λα'. Ὅπως κατενεμήθη ὁ λαὸς τὴν γῆν τῆς ἐπαγ-
γελίας ὡς ὁ Ναυῆ Ἰησοῦς αὐτοῖς ἐκληροδότησεν.
Φυλὴ Ῥουβὶμ καὶ Γὰδ, καὶ ἥμισυ φυλῆς Μανασσῆ. πρῶ-
τοι οὗτοι παρὰ Μωϋσέως τὴν πέραν τοῦ Ἰορδάνου χώ-
ραν περιειλήφασι τὴν πρότερον οὖσαν Ἀμορραίων
καὶ Ῥαφὶμ τὴν Βασσανῖτιν ἅπασαν.
Φυλὴ Μανασσῆ τὸ ἕτερον ἥμισυ σκῆπτρον. πέραν
καὶ τοῦτο τοῦ Ἰορδάνου περὶ Γαδάραν Γεργεσαίων χώ-
ραν. καὶ τὴν νῦν λεγομένην Σκυθόπολιν, μέχρι τῆς
παρὰ Λίδωρον.
Φυλὴ Ἰούδα τὴν ἐπάνω τῆς Ἰδουμαίας χώρας ἅπα-
σαν διήκουσαν μέχρι τῆς Σοδομίτιδος. πόλεις δὲ
κατὰ θάλασσαν ἔχουσα, γάζαν καὶ ἀσκάλωνα. Φυλὴ Συμεὼν τὴν Ἰδου-
μαίαν, τὴν Αἰγύπτῳ καὶ Ἀραβίᾳ πρὸς ὅρον ἔχου-
σαν παρ' ἄλλον τὴν ἐπέκεινα Γάζης. Φυλὴ Βεν-
ιαμὶν Ἱεριχοῦντα καὶ Βεθὴλ καὶ Ἱεροσόλυμα ἕως
θαλάσσης ἐν στενῷ ἀπὸ τοῦ Ἰορδάνου ποταμοῦ μέχρι
Γαβαωνιτῶν εὐαίων. Ἀμορραίων περὶ Βεθήλ. Ἰεβουσαίων
περὶ Ἱερουσαλήμ. Φυλὴ Ἐφραὶμ. ἀπὸ Βεθὴλ ἐπὶ

τὸ μέγα πεδίον μέχρι Γαζάρων ἀπὸ τοῦ Ἰορδάνου Φερεζαίων Ἀμορραίων Σαμορραίων· Φυλὴ Ἰσάχαρ, Κάρμηλον τὸ ὄρος καὶ Ἰταβύριον ὄρος τέρμονα τὸν ποταμὸν ἔχοντες. Φερεζαίων καὶ αὐτὴ ἡ χώρα. Φυλὴ Ζαβουλὼν, ἀπὸ τοῦ ποταμοῦ μέχρι τῆς Γεννησαρίτιδος λίμνης. καὶ τὴν κοιλάδα, κατὰ Φερεζαίων καὶ ὁ χῶρος. Φυλὴ Ἀσὴρ λαμβάνει τὰ περὶ Σιδῶνα τετραμμένα. ἐν οἷς καὶ πόλις ~~[illegible]~~ κεῖ Χαναναίων ἡ χώρα. Φυλὴ Νεφθαλεὶμ τὰς περὶ Δαμασκὸν Γαλιλαίας ^ ~~[illegible]~~ καὶ τῶν Ἰορδάνου πηγῶν. αἳ τὸ ῥεῦμα ἐκ τοῦ ὄρους ἔχουσι. τούτου Κιναίων ἡ χώρα. Φυλὴ Δὰν, τὰ περὶ Ἄζωτον Ἰαμνίαν καὶ Γίτταν. ἀπὸ Ἀκκάρων ἕως ὄρους ἐξ οὗ ἡ Ἰούδα ~~[illegible]~~ Φυλή. αἱ δὲ κληρουχίαι πᾶσαι, ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν ἐγίνοντο τῶν ~~πασῶν~~ φυλῶν, καὶ τὴν παρ' ἄλλων νεμομένων Παλαιστίνης καὶ Φοινίκης.

^ καθύπερθεν

Τίνες εἰσὶν αἱ φυγαδευτήριοι πόλεις εἰς ἃς κατέφευγον οἱ ἀκούσιον φόνον δεδρακότες. λβ´

Ἐν μὲν τῷ πέραν τοῦ Ἰορδάνου ἐν πεδίῳ φυλῆς ῥουβὶμ βοσορὴ πρὸς τῇ ἐρήμῳ. ἐν δὲ τῇ φυλῇ γὰδ τὴν ῥαμὼθ πρὸς τῇ γαλαὰδ χώρᾳ· ἐν δὲ τῇ φυλῇ μανασσῆ τὴν γαύλον πρὸς τὴν βασὰν χώραν. ἐν δὲ ταῖς ἐννέα φυλαῖς, καὶ ἡμίσει τὴν καὶ ἐδὲς, ἐν τῇ γαλιλαίᾳ ἐν ὄρει νεφθαλεὶμ. καὶ τὴν συχὲμ ἐν ὄρει ἐφραίμ. καὶ τὴν χεβρὼν ἐν ὄρει Ἰούδα. αὗται αἱ πόλεις ἓξ ἀμφὶ τὸν Ἰορδάνην κεῖνται.

Τίνες εἰσὶν αἱ μὴ πόλεις αἱ τοῖς λευίταις ἀφορισθεῖσαι. λγ´.

Ἀπὸ φυλῆς Ἰούδα καὶ φυλῆς συμεὼν πόλις καριαθαρβὼκ, ἥ ἐστι χεβρὼν, πόλις ἐλὼμ· καὶ τὴν τεέλλαν. καὶ τὴν δαβὴρ. καὶ τὴν ἀσάν. καὶ τὴν ἀχάν. καὶ τὴν βεθσάμυς. καὶ τὴν ἐλβά. καὶ τὴν βεθ[illegible]ς:

Ἀπὸ φυλῆς βενιαμὶν τὴν γαβαὼν· καὶ τὴν γαβεὲ· καὶ τὴν ἀνὰχ· καὶ γαλαμὰθ· αὗται πόλεις ιγ.
Ἀπὸ φυλῆς ἐφραὶμ, τὴν συχὲμ, καὶ τὴν γαζέρ· καὶ τὴν γαβαίν· καὶ τὴν βεθθορὼν· αὗται πόλεις δ:
Ἀπὸ φυλῆς δὰν, τὴν ἐλθακὼλ· καὶ τὴν γεβαὼν· καὶ ἐδὼμ· καὶ τὴν γεθερὲμ· καὶ αὗται πόλεις δ.
Ἀπὸ ἡμίσους φυλῆς μανασσῆ, τὴν καναχῆ· καὶ τὴν βετσὰν· αὗται πόλεις β. Ἀπὸ ἑτέρου ἡμίσους φυλῆς μανασσῆ, τὴν γαῦλον καὶ τὴν βοσόρον· καὶ αὗται πόλεις β. Ἀπὸ φυλῆς ἰσσάχαρ τὴν κισὼν· καὶ τὴν ῥαμὰθ· καὶ τὴν δεββαθὰς· καὶ τὴν ἡλίη· αὗται πόλεις δ: Ἀπὸ φυλῆς Ἀσὴρ, τὴν μασαλᾶ· καὶ τὴν αὐδιὼθ· καὶ τὴν χεκὰθ· καὶ τὴν ῥαὰβ· αὗται πόλεις δ. Ἀπὸ φυλῆς νεφθαλεὶμ, τὴν κεδὲς τὴν ἐν τῇ γαλιλαίᾳ· καὶ τὴν ἐμὰθ· καὶ τὴν καραὶν· αὗται πόλεις γ. Ἀπὸ φυλῆς ζαβυλὼν· τὴν ἰεκκὼμ· καὶ τὴν κασὲρ· καὶ τὴν ῥεμμὼν· καὶ τὴν ἐλλάν, αὗται πόλεις δ. Ἀπὸ φυλῆς ῥουβὶν πέραν τοῦ ἰορδάνου· τὴν βοσὸρ· καὶ τὴν ἰαζὴρ· καὶ τὴν κεδμὼθ· καὶ ἀφαὰθ· αὗται πόλεις δ.
Ἀπὸ φυλῆς γὰδ, τὴν ῥαμὼθ καὶ ματθανήν· καὶ τὴν ἐσεβὼν· καὶ τὴν ἀζὴρ· καὶ αὗται πόλεις δ.

λδ Τίνας εἰλήφασι πόλεις καὶ βασιλεῖς ἰησοῦς καὶ χαλὲφ οἱ πιστοί·

Τὸν βασιλέα ἰεριχὼ· καὶ τὸν βασιλέα τῆς γαί· ἥ ἐστι πλησίον βεθὴλ· βασιλέα ἱερουσαλὴμ· βασιλέα χεβρὼν· βασιλέα λάχις· βασιλέα ἰεριμοὺθ· βασιλέα γαζὲρ· βασιλέα αἰγλὼμ· βασιλέα ἀδὲρ· βασιλέα δαβὴρ· βασιλέα ὀδολλὰμ· βασιλέα ἑρμᾶ; βασιλέα θαπφοῦ· βασιλέα λεβνᾶ· βασιλέα βεχ· βασιλέα μακιδὰ· βασιλέα σαμρὼν: βασιλέα ὀφὲρ·

βασιλέα ἀχσάφ· βασιλέα ἀσώρ· βασιλέα μελδῶν· μαρρὼν· βασιλέα κέδες· βασιλέα θανάκ· βασιλέα ἰεκονὰμ τοῦ χερμέλ· βασιλέα δώρ. τοῦ ναφὲρ δώρ· βασιλέα γωὴμ τῆς γολὲλ· βασιλέα θερσάμ· πάντες οὗτοι βασιλεῖς κθ. οὓς ἀνεῖλεν ἰησοῦς σὺν ταῖς πόλεσιν αὐτῶν· καὶ ἐκληροδότησεν αὐτὰς τοῖς υἱοῖς ἰσραήλ:

Τίνες εἰσὶ βασιλεῖς οἱ ἐπελθόντες τῇ ἀλ[illegible]υκι πεδιάδι οὓς ἐπάταξεν ἀβραάμ· λε.

Μαρφὰλ, βασιλεὺς σενναάρ· ἀρειώχ, βασιλεὺς ἐλλασάρ· [illegible] χοδολογομὸρ, βασιλεὺς ἐλλάμ· θαργὰλ, βασιλεὺς ἐθνῶν:

Τίνες εἰσὶ βασιλεῖς οὓς διέσωσεν ἀβραὰμ μετὰ τοῦ λώτ. λϛ

Ελλάμ, βασιλέα σοδόμων· μεταβερσὰν, βασιλέα γομόρρας· σενναὰρ βασιλέα ἀδαμίων· σομοβὸρ βασιλέα σεβωήμ· βαλάκ, βασιλέα σεγώρ. τούτους ἀβραὰμ ἐπιδιώξας· καὶ ἀνελὼν ἐκ τῆς ἀπαγωγῆς, ὑφεξείλατο. ἐπικρατήσας αὐτοῖς τοὺς ἑαυτοῦ παῖδας, ὄντας τὸν ἀριθμὸν τιη:

Τίνες ἑβραῖοι γυναῖκας ἐθνικὰς ἠγάγοντο. λζ.

Ἰούδας τὴν σουά· ἐξ ἧς ἔσχεν υἱούς. τὸν σηὶρ καὶ τὸν αὐνᾶν καὶ τὸν σιλώμ. ἔλαβε δὲ γυναῖκα τὴν θάμαρ τῷ υἱῷ αὐτοῦ σηίρ. καὶ τούτου ἀποθανόντος, ἔδωκεν αὐτὴν τῷ αὐνᾶ γυναῖκα· καὶ τούτου δὲ ἀποθανόντος· καὶ μὴ ἀπολύοντος αὐτὴν ἑτέρω γαμηθῆναι, δόλω ἡ θάμαρ ἔσχεν ἐξ αὐτοῦ υἱούς· τὸν φαρὲς καὶ τὸν ζαρά· μωϋσῆς τὴν σεπφόραν· ἐξ ἧς ἔσχε τὸν γερσῶν καὶ τὸν ἐλιέζερ· σαλμὼν τὴν ῥαὰβ τὴν πόρνην· τὴν τοὺς κατασκόπους κατακρύψασαν· ἐξ ἧς ἔσχε τὸν βοόζ· βοὸζ τὴν μωαβῖτιν ῥούθ· ἐξ ἧς ἔσχε τὸν ἰωβὴδ τὸν τοῦ ἰεσσαὶ πατέρα, ἐξ οὗπερ γεννᾶται δαβίδ. οὗτοι μὲν οὖν οἱ τεχθέντες ἐκ τῶν ἐθνικῶν γυναικῶν, καὶ εἰς τὴν τοῦ Σωτῆρος συντελοῦσι

σάρκωσιν· ἐπὶ δὲ βλάβῃ τῇ ἑαυτῶν ἔσχον ἐθνικὰς
γυναῖκας· σαμψὼν τὴν δαλιδᾶν· δι' ἧς ἀπατη-
θεὶς· καὶ τὸν ἁγιασμὸν τοῦ ναζηραίου διεφθάρη· καὶ
ἐκτυφλωθεὶς, ἀδόξως τελευτᾷ· σαλομὼν τὴν τοῦ αἰ-
γύπτου θυγατέρα ἀγόμενος· καὶ μωαβίτιδας καὶ ἀμ-
μανίτιδας· σύρας καὶ ἰδουμαίας· χετταίας καὶ ἀ-
μορραίας:

λη. Τίνες πολλὰς ἔσχον γυναῖκας.
ἰακὼβ, δ'· τὴν λίαν· τὴν ῥαχὴλ· τὴν βαλλάν· τὴν
ζελφάν· ἐξ ὧν καὶ παῖδες αὐτῷ γεγόνασι ιβ'·
γεδεών· ἐξ ὧν καὶ ο' παῖδες αὐτῷ γεγόνασι· δα-
βὶδ πλείους ἢ ι'· τὴν ἀχιναάν· καὶ τὴν μελχώλ· τὴν
ἀβιγαίαν· τὴν ἐγγήθ· τὴν βιτάλ· τὴν αἰγλήν· τὴν
βηρσαβεέ· καὶ ἄλλας ἃς ἔλαβεν εἰς τὴν ἱερουσαλήμ,
πλήρης τὴν βασιλείαν ἀπολαβών· ἐξ ὧν καὶ ιγ'
υἱοὺς ἐκτήσατο· ὧν γυναικῶν τὰ ὀνόματα οὐκ
ἀναγέγραπται· ἔσχε δὲ καὶ ἀβισαγὰ τὴν σουμανῖτιν·
τὴν θερμαίνουσαν αὐτὸν πρὸς τὴν τοῦ σώματος ἀ-
πόψυξιν· ὁ δὲ σαλομὼν τὰς γυναῖκας καὶ
παλλακὰς τ' ἐσχηκώς, ἕνα μόνον υἱὸν τὸν καὶ τῆς
βασιλείας ἐγκρατῆ γεγενῆσθαι μὴ δυνάμενον ἔ-
σχηκεν ἀπὸ νααμᾶν τῆς ἀμμανίτιδος· ἢ ὡς ἄλλη
ἔκδοσις ἔχει ἀπὸ θάμαρ θυγατρὸς ἀβεσαλώμ·

λθ. Ὅσαι γυναῖκες τοὺς ἄνδρας διέφθειραν.
Εὔα τὸν ἀδάμ· ἀπατηθεῖσα καὶ αὐτὴ πρὸς τοῦ δια-
βόλου· δαλιδᾶ τὸν σαμψὼν ἀποξυρίσασα, καὶ δέσ-
μιον τοῖς πολεμίοις παραδοῦσα· καὶ δι' αὐτὴν ἀναι-
ρούμενον· ἐκτυφλωθέντα πρότερον αἰσχρῶς· καὶ τοῦ
λαοῦ δὲ τοῦ ἰσραηλιτικοῦ τὴν ἀναίρεσιν αἱ τῶν
ἀμορραίων ἐποιήσαντο γυναῖκες. κατὰ γνώμην
τοῦ μάντεως βαλαὰμ τὴν τοῦ βαλὰκ εἰσηγηθεῖ-
σαν, εἰς ἀπόστασιν αὐτοὺς ἐπαγομένων· ἢ αἰγυπτία

ἢ τὸν ἀρχιμάγειρον τοῦ βασιλέως μετὰ τὸ μὴ δυνηθῆναι τὸν ἰωσὴφ ἀπατῆσαι συμπείσασα ὡς ἐπελθόντος αὐτῇ τοῦ ἰωσὴφ. καὶ ποιήσασα αὐτὸν ἐγκατάκλειστον τὸν σώφρονα. ἢ τοῦ ἰὼβ γυνὴ ἐπιχειροῦσα πείθειν τὸν εὐσεβέστατον ἰὼβ λαλεῖν ῥῆματί πρὸς [...] ἀλλ' οὐ δυνηθεῖσα διὰ τὸ ἰσχυρόγνωμον τοῦ εὐσεβοῦς. οὕτω δὴ καὶ τὸν σοφώτατον Σολομῶντα γυναῖκες αἷς παράνομος ἠγάγετο, εἰς τοὺς ναοὺς οἰκοδομεῖν οἷς αὗται [...] δαίμοσιν ὡς θεοῖς ἐτίμων, ἀνέπεισαν. ἰεζάβελ τὸν Ἀχαὰβ τῇ ἀσαρτηθείνῃ ἠπάτησεν. καὶ τὸν προφήτην ἐκδιώκειν Ἠλίαν. διὸ καὶ τετιμώρηνται. γοθολία ἡ τοῦ Ἀχαὰβ καὶ τῆς ἰεζάβελ θυγάτηρ. τὸ τοῦ Δαβὶδ γένος ἀφανίσαι διὰ τῶν ἐπηκόων αὐτῆς μηχανομένη. Ἡρωδιὰς τὸν Ἡρώδην φονεύειν τὸν βαπτιστὴν ἰωάννην, διὰ τῆς εὐρύθμου ὀρχησαμένης τῆς ἑαυτῆς θυγατρὸς ἐπαγγελλομένη. μ.

Ὅσαι γυναῖκες τοὺς ἄνδρας εὐηργέτησαν. καὶ δι' ὧν ἔδρασαν εὐάρεστοι τῷ θεῷ γεγόνασι.

Σάρρα πεισθεῖσα τῷ Ἀβραὰμ καὶ λέγουσα ἀδελφὴ αὐτοῦ εἶναι κατὰ τὰς ὑποθέσεις αὐτῷ πρὸς τὸ διὰ τὸ κάλλος αὐτῆς ἐπηρείας. καὶ πάλιν παρακαλοῦσα αὐτὸν συγγενέσθαι τῇ παιδίσκῃ τῇ Ἄγαρ. ἵνα κτήσηται παιδίον πρὸς τὸ μὴ δι' αὐτὴν στεῖραν οὖσαν ἄπαιδον καὶ αὐτὸν ἀποθανεῖν. Ῥαχὴλ καὶ Λία ὑπακούσασαι τῷ ἀνδρὶ καὶ ἀκολουθοῦσαι αὐτῷ εἰς τὴν Χαναναίαν, τὸν πατρῷον οἶκον καταλιμπάνουσαι. Ῥεβέκκα ὁμοίως τοῦ μόνον ὀνομασθέντος ἀνδρὸς αὐτῆς ἰσαάκ. πόθῳ κατέλιπε τὴν πατρῴαν ἑστίαν, καὶ πρὸς τὸν μνηστῆρα ἐξαπέλλοιτο. ἡ τοῦ Γεδεὼν γυνή, δείσαντα τὸν ἄνδρα τὴν τοῦ ἀγγέλου ἐπιφάνειαν, ῥώννυσιν ἀπὸ τοῦ δέους. πίστιν αὐτῷ τὴν ἀπὸ γνώμης ἐντιθεῖσα ζεῖον. μελχὼλ τὸν Δαβὶδ ἀναιρεῖσθαι ὑπὸ τοῦ Σαοὺλ μέλλοντα, καθιμήσασα διὰ θυρίδος. καὶ δρασμὸν αὐτῷ τὸν ἀπὸ τοῦ φόνου περιποιησαμένη. ἡ Ἀβιγαία ἡ τὸν

νάβαλ πανώλεθρον ἀναιρέσεως μέλλοντα τοῦ δαυὶδ
ἐξυβρίσαντα ῥυσαμένη τῆς διαφορᾶς διὰ τῆς παρακλή-
σεως τῆς πρὸς τὸν δαβὶδ δώροις αὐτὸν ὑπὲρ τοῦ ἀνδρὸς
ἐξευμενισαμένη· ἡ δὲ τοῦ σαλομῶντος μήτηρ ἡ βηρσαβεὲ
ἡ κατὰ τοῦ προφήτου νάθαν ὑποθήκας τὴν βασιλείαν τῷ υἱῷ
περιποιησαμένη· διδάξασα τὸν δαβὶδ τὰ τοῦ ἀδονία τετολ-
μημένα· ῥαὰβ δὲ διὰ πίστεως εὐδοκιμεῖ παρὰ τῷ θεῷ δι-
ασώζουσα τοὺς κατασκόπους· καὶ δι' ἄλλης ὁδοῦ τούτους ἀπο-
λύουσα. καὶ σωθῆναι τῆς σωτηρίας τρόπῳ αὐτοὺς ποιου-
μένη· ῥοὺθ ἡ μωαβῖτις ἡ τῆς ἑκύρας διὰ πόθον ἱερὸν
ἀχώριστος καὶ εἰς ἐκκλησίαν κυρίου ~~[illegible]~~ κατατατομένη·
κῶ
καὶ ἡ γυνὴ ἡ τὸν ἐναλλέξαντον ἀβιμέλεχ τὸν δεινὰ κατὰ
τοῦ λαοῦ ἐργασάμενον, μέγιστόν τι κατώρθωσε τῷ λαῷ·
μύλου κλάσματι τοῦτον ἐκ τοῦ τείχους κατὰ τοῦ κρανίου αὐτοῦ
ἀπορριφέντι ἀνελοῦσα· καὶ ἡ τοῦ σαβεὲ δὲ τὸν τοῦ βοχο-
ρὶ προκατειληφότα τὴν ἄβελ καλουμένην πόλιν ἀπὸ τοῦ
βασιλέως ἀποστάντα δαβὶδ ἀποκτείνασα, καὶ τὴν κε-
φαλὴν αὐτοῦ διὰ τοῦ τείχους τῷ ἰωὰβ ῥίψασα, καλὸν καὶ
σοφὸν ἔργον ἐπεδείξατο· ὅλην πόλιν πολιορκίας ῥυσα-
μένη· σοφὴ δὲ καὶ ἡ θεκουῖτις ἡ τὸν ἀβεσαλὼμ τῆς
φυγῆς ὑπὸ τοῦ πατρὸς κληθῆναι ποιησαμένη ταῖς τοῦ ἰωὰβ
ὑποθήκαις· σαβά τε ἡ τῶν αἰθιόπων βασιλὶς τῆς σο-
φίας εἵνεκα σολομῶντος εἰς τὴν ἰουδαίαν σταλεῖσα ἐπὶ σο-
φίᾳ, καὶ αὐτὴ δικαίαν ἀπηνέγκατο τιμήν· ἡ χήρα ἐν σα-
ρεφθοῖς τὸν ἠλίαν δεξιωσαμένη ἐπὶ τιμῇ τῇ τοῦ ~~[illegible]~~ θεοῦ·
ἡ γυνὴ ἡ σωμανῖτις ἡ τὸν ἐλισσαῖον δεξιουμένη· καὶ οἶ-
κον αὐτῷ χαλαῖον εὐτρεπίσασα, μεγάλα καὶ τὸν ἄνδρα,
καὶ τὸν ἑαυτῆς οἶκον ὤνησεν· υἱόν τε γὰρ οὐ πρότερον ὄν-
τα αὐτῇ ἐκτήσατο· καὶ τοῦτον ἀποθανόντα, ζῶντα ἀπείλη-
φε· ἐν δὲ χάριτι τῇ κατὰ χριστῷ τὴν τοῦ κόσμου σωτηρίαν,
χῶ
μαρία διηκονήσατο· γεννήσασα ἡμῖν σαρκὶ τὸν μονο-
γενῆ υἱὸν τοῦ θεοῦ τὸν κύριον ~~[illegible]~~ ἡμῶν ἰησοῦν χριστόν· ἐ-
λισάβετ ἡ τοῦ ζαχαρίου γυνὴ τὸν πρόδρομον τοῦ κυρίου
ἰωάννην τὸν βαπτιστὴν συλλαβοῦσα, καὶ προφητεύειν
ἠξίωται· τήν τε ἀνάστασιν τοῦ κυρίου αἱ τρεῖς μαρίαι πρῶ-
ται θεασάμεναι τοῖς μαθηταῖς ἀπήγγελλον· ἀλλὰ καὶ
ἰωάννα ἡ τοῦ ἐπιτρόπου ἡρώδου γυνὴ μετὰ καὶ ἄλλων

πιστοτάτων γυναικῶν ἀκολουθήσασα τῷ κυρίῳ τὰ χρήματα
ἐπιφερομένη, καταναλοῖ εἰς τὴν διακονίαν τῶν ἑπομέ-
νων τῷ σωτῆρι.

Τίνες ἄνδρες ἐπὶ σοφίᾳ θαυμασιοὶ γεγόνασι. μα.

Σὴμ καὶ ἰάφεθ ὀπισθοφανεῖς ἐπιβαίνοντες, τὴν τοῦ πατρὸς κα-
λύψαι γυμνότητα. ἰωσὴφ τὰς ἑαυτὸν καθ' προσφέρων σοφῶς συμ-
φορὰς· καὶ τὰ ὀνείρατα διαλύων. καὶ τὸν καιρὸν τῶν εὐ-
φοριῶν. καὶ τοῦ λιμοῦ πανσόφως οἰκονομῶν· βεσελεὴλ
ὁ τοῦ οὐρὶ, καὶ ἐλιὰβ ὁ τοῦ ἀχισαμὰκ οἱ τὴν ἱερὰν σκη-
νὴν ἐργασάμενοι· χουσὶ ὁ τοῦ δαβὶδ σύμβουλος τὴν τοῦ
ἀχιτόφελ σοφίαν μεταχειρισάμενος· σολομὼν ὁ τῆς σοφί-
ας χάρισμα κομισάμενος. οἱ υἱοὶ μαοὺλ· αἰθὰν καὶ ἔσ-
ραν (?) καὶ ἠμὰν καὶ χαλχὰλ καὶ δαρδάν· περὶ ὧν καὶ ἐν ταῖς
βασιλείαις ὡς σοφῶν, καὶ τὰ τοῦ σολομῶντος μνήμη
γίνεται· ἰωδαὲ ὁ ἀρχιερεὺς ὁ τὴν γοθολίαν ἀποκτείνας·
καὶ τὸν ἐκ τοῦ δαυϊτικοῦ γένους ἰωὰς, σοφῶς εἰς βασιλείαν προ-
αγαγών· Δανιὴλ ὁ τὰ μυστικὰ τῶν βασιλέων θεάματα ἀπο-
καλύπτων· περὶ οὗ καὶ πρὸς τὸν διάβολον εἴρηται· μὴ σὺ
σοφότερος εἶ τοῦ δανιήλ· Ἔσδρας, ὁ τῶν ἱερῶν γραφῶν
μετὰ τὴν ἐκ βαβυλῶνος τοῦ ἰουδαϊκοῦ λαοῦ ἐπάνοδον μνή-
μην ποιησάμενος.

Τίνες ἐπὶ σοφίᾳ γυναῖκες θαυμασταὶ γεγόνασι. μβ.

Θάμαρ ἐπὶ παιδογονίᾳ τὸν ἰούδαν σοφισαμένη· ῥεβέκ-
κα τῷ ἰακὼβ τὰς παρὰ τοῦ πατρὸς εὐλογίας οἰκονομή-
σασα δοθῆναι· καὶ εἰς τὴν μεσοποταμίαν αὐτὸν πρὸς τὴν
ἑαυτῆς συγγένειαν ἐκπέμψασα διὰ τὴν τοῦ ἠσαῦ μῆνιν.
ἰωσαβεὲθ τοῦ βασιλέως ἰωρὰμ θυγάτηρ· ἰωδαὲ δὲ τοῦ ἀρχιε-
ρέως γυνὴ κρύψασα ἰωὰς τὸν ὀχοζίου τοῦ ἀδελφοῦ αὐ-
τῆς υἱὸν, ἵνα μὴ πρὸς τῆς γοθολίας ἀναιρεθῇ· καὶ φυ-
λάξασα εἰς τὴν τῆς δαυϊτικῆς βασιλείας ἔκφανσιν·
σοφὴ καὶ ἡ σωμανῖτις ἡ τὸν προφήτην ἐλισσαῖον δεξι-
ωσαμένη· τῇ τε τῆς οἰκίας παρασκευῇ· καὶ τῇ παραμονῇ
τῇ τοῦ προφήτου.

μγ Τίνες ἐπὶ δεινότητι γνώμης σοφοὶ διὰ τῆς
ἑαυτῶν σοφίας ἀπώλοντο.

Οἱ τὸν πύργον οἰκοδομεῖν ἕως ~~[struck]~~ οὐρανοῦ βουλόμενοι,
διελύοντο τῇ πολυφωνίᾳ. Φαραὼ κατασοφιζόμενος
τὴν τοῦ λαοῦ διαφθορὰν, καὶ κατέχειν εἰς δουλείαν βουλόμενος,
συναπολλύμενος τῇ τοιαύτῃ ἐπιχειρήσει. Ἀβιμέ-
λεχ ὁ τοῦ Γεδεὼν υἱὸς σοφιζόμενος ἑαυτῷ τὴν ἀρ-
χὴν περιποιήσασθαι· καὶ τοὺς ἀδελφοὺς φονεύσας·
ὑπὸ γυναικὸς ὡς κύων ἀναιρούμενος. Σαοὺλ μη-
χανώμενος τὴν τοῦ Δαβὶδ ἀναίρεσιν· καὶ τὸ δό-
ρυ κατ' αὐτοῦ βάλλων, ὑπὸ τοῦ ἰδίου ξίφους διολλύ-
μενος. Ἀχιτόφελ δεινὰ σοφιζόμενος καὶ παρευδοκι-
μηθεὶς πρὸς τὸν Ἀβεσαλὼμ ὑπὸ τοῦ Χουσὶ ἀγχόνῃ
χρησάμενος. Οἱ τὸν Δανιὴλ συσκευασάμενοι τοῖς λέουσιν
ἐκδοθῆναι αὐτοὶ τοῖς θηρίοις ἐκδοθέντες· καὶ ἔτι
πρότερον οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἀφανίζειν αὐτοῦ τὴν ἐκ τῶν
ὀνειράτων ἐπίδοξον προσδοκίαν σοφισάμενοι ὑπὸ
τὴν κρίσιν αὐτοῦ περὶ τοῦ παντὸς ἔκειντο.

μδ Τίνες ἐπὶ κρύψει τῆς ἀληθείας σοφοί, σω-
τηρίαν εὕραντο.

Ἀβραὰμ ἀδελφὴν ἑαυτοῦ λέγων εἶναι τὴν Σάρραν,
ἵνα μὴ ὑπὸ τῶν Αἰγυπτίων δι' αὐτὴν ἀναιρεθῇ. Μωϋ-
σῆς πρὸς τὸν Αἰγύπτιον λέγων· τριῶν ἡμερῶν τὸν
λαὸν ἐπὶ τὴν τοῦ θεοῦ λατρείαν ἀπάξειν. Σαμουὴλ
χρίων τὸν Δαβὶδ εἰς βασιλέα, ἐπὶ θυσίαν φάσκων
εἰς τὴν Βηθλεὲμ ἀφικνεῖσθαι. Ἰωνάθαν λέγων πρὸς τὸν
ἑαυτοῦ πατέρα τὸν Σαοὺλ περὶ τοῦ Δαβίδ· ὡς ὑπ' αὐ-
τοῦ παρακληθεὶς εἴη εἰς τὴν Βηθλεὲμ ἀπιέναι. Ὁ Δαβὶδ
φεύγων τὸν Σαοὺλ, πρὸς τὸν ἱερέα τὸν Ἀβιμέλεχ,
φάσκων· ὡς ὑπὸ τοῦ βασιλέως ἀπεσταλμένος εἴη
ἐπί τι πρᾶγμα προσῆκον αὐτῷ· καὶ πρὸς τὸν ἀλλό-
φυλον ἐλθών, δείσας μὴ ὡς στρατηγὸς ὢν τοῦ λαοῦ

ἀποθάνῃ, μανίαν ἐσκέψατο πρόσχημα προβαλλόμενος
οὐκ ἀληθὲς διὰ σωτηρίαν· καὶ μελχιὸλ δὲ τοῦ πατρὸς
ἐπαγανακτοῦντος αὐτῇ διὰ τὴν τοῦ δαβὶδ ἀπόλυσιν ἀ-
ναιρεῖσθαι· λέγουσα πρὸς αὐτὸν εἰ μὴ τοῦτο πεποιήκει.

Τίνες δὲ δόλῳ δικαιοσύνης ἔργα διεπράξαντο. μεʹ.

Ἀὼδ ὁ κριτὴς τὸν αἰγλὼμ τὸν τῶν μωαβιτῶν βασι-
λέα, ὡς ὑπήκοος παρ᾽ αὐτοῦ μετὰ δώρων ἐλθών, ἀνελὼν
δόλῳ· ἰαὴλ ἡ τοῦ κιναίου χαβὲρ γυνή· τὸν σισάρα φεύ-
γοντα φιλοφρόνως δεχομένη· καὶ γάλακτι ποτίσασα,
κατακοιμήσασά τε, τὴν κεφαλὴν αὐτοῦ τελευταῖον πασ-
σάλῳ διελάσασα.

Τίνες πρὸς σχήματι χρηστότητος ἢ εὐσεβείας, μϛʹ.
θάνατον κατειργάσαντο.

Πρῶτος ὁ ὄφις τὴν εὔαν διὰ χρηστότητος, ἔπεισεν
ἐφάπτεσθαι τοῦ τῆς γνώσεως φυτοῦ ὡς θεῶν γινομένων εἰ
φάγοιεν· καὶ διὰ ταύτης εἰς θάνατον ἐνέβαλε· Κάϊν
τὸν ἀδελφὸν φιλοφρόνως, ὡς εἰς εὕρεσιν προτρεπόμενος·
διέλθωμεν εἰς τὸ πεδίον φάμενος, οὕτως ἀναιρῶν· ἡ ἰεζά-
βελ πρὸς σχήματι νηστείας θεοῦ προσαγομένης, ὑπὸ τοῦ
βασιλέως τὸν ναβουθαὶ συκοφαντοῦσα· ὁ ἰσμαὴλ φιλίας
πρὸς σχήματι πρὸς τὸν προστάτην τοῦ ὑπολειφθέντος
εἰς τὴν ἱερουσαλὴμ λαοῦ τὸν γοδολίαν παραγενόμενος
καὶ τοῦτον οὕτως ἀνελών.

Τίνες δίκαιοι ἀνῃρέθησαν. μζʹ.

Ζαχαρίας ὁ τοῦ ἀρχιερέως ἰωδαὲ υἱὸς ἐπιπλήττων
δυσσεβοῦντι τῷ ἰωὰς, λιθόλευστος ἀναμέσον τοῦ ναοῦ καὶ
τοῦ θυσιαστηρίου, ἀναιρεῖται· Οὐρίας ὁ προφήτης φεύ-
γων τὰς ἀπειλὰς τοῦ λαοῦ· ἐπείπερ παρῄνει μὴ δυσσε-
βεῖν· κληθεὶς ἀπὸ τῆς αἰγύπτου εἰς τὴν ἱερουσαλὴμ ἐ-
φονεύετο· ναβουθὲ ὁ ἰσραηλίτης τὸν ἑαυτοῦ πατρικὸν

ἀμπελῶνα μὴ βουληθεὶς (δοῦναι) τῷ ἀχαὰβ ὑπὸ τῆς ἰεζάβελ
συκοφαντούμενος, λίθοις βαλλόμενος ἀνῄρητο. γοδολί-
ας ὁ τοῦ λαοῦ μετὰ τὴν αἰχμαλωσίαν προϊστάμενος, ὑ-
Η* πὸ ἰσμαήλου διὰ τὸ εἶναι προστάτης ἀνῄρητο. ἠσαΐ-
ας ὁ προφήτης ὑπὸ μανασσῆ ἐπρίσθη ὡς ἡ παράδο-
σις ἔχει. οὔτε γὰρ ἡ γραφὴ τοῦτο ἔφησεν. ἰούδας ὁ μακ-
καβαῖος καὶ οἱ ἀσαμωναίου παῖδες ὑπὸ ἀντιόχου τοῦ
ἐπιφανοῦς ἐπ' εὐνομίᾳ δεινῶς αἰκισθέντες, ἀνῃρέθη-
σαν. ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου ὁ διὰ τὴν ὑπερ-
βάλλουσαν ἀρετὴν δίκαιος ἐπικληθεὶς ὑπὸ τοῦ λαοῦ,
ἀνῃρέθη:~

μη̄ Τίνες ἀδελφοὺς ἀπέκτειναν.

Κάϊν τὸν ἄβελ. ἀβιμέλεχ ὁ τοῦ γεδεὼν υἱός, τοὺς ο̄.
ἀβεσσαλὼμ τὸν ἀμνών. ~~ἰωρὰμ~~ σαλομὼν τὸν ἀδω-
νίαν. ἰωρὰμ ὁ τοῦ ἰωσαφὰτ υἱός, τοὺς ε̄ ἀδελφοὺς αὐ-
τοῦ.

μθ̄ Τίνες παρὰ τὸ δοκοῦν τῷ θεῷ χρηστευσάμενοι ἀναιροῦνται.

Σαοὺλ μὴ ἀποκτεῖναι ἀγὰγ τὸν τοῦ ἀμαλὴκ βα-
σιλέα προσταχθεὶς πανώλεθρον αὐτὸν διαφθεῖραι.
ἀλλὰ φεισάμενος αὐτοῦ, παρὰ τὸ δοκοῦν τῷ θεῷ,
κατακρίνεται ὑπὸ τοῦ προφήτου σαμουὴλ τὴν καθαί-
ρεσιν στῆναι τῆς βασιλείας. ἀχαὰβ παραλαβὼν τὸν
τοῦ ἀδὲρ υἱὸν βασιλέα συρίας εἰς ἀναίρεσιν, τὴν τοῦ
θεοῦ βουλήν. ἐλεεῖ τὸν ἐκδοθέντα αὐτῷ εἰς θάνατον.
καταφρονητὴν γεγονότα τοῦ θεοῦ ἰσραήλ. διόπερ
αὐτὸς ἐξεδόθη τῇ παγγενῇ διαφθορᾷ. ὁ κελευσθεὶς
ὑπὸ τοῦ προφήτου, πατάσσειν αὐτὸν εἰς ἔλεγχον τῆς
φιλανίας τοῦ ἀχαὰβ ἀνηκόου τοῦ θεοῦ ~~φιλανθρωπίας~~ καὶ μὴ πα-
τάξας λέοντι περιπίπτειν, ἀκούει διὰ τὴν παρακοὴν τοῦ
θηρίῳ. καὶ τούτῳ περιπεσὼν κατὰ τὴν ὁδόν, ὑπ' αὐ-
τοῦ καὶ ἀναιρεῖται. ὁ προφήτης ἐπὶ τοῦ ἱεροβοὰμ
εἰς τὴν βεθὴλ ἀποσταλεὶς, προλέγειν τὴν τῶν ψευδο-

προφητῶν ἐσομένην, ἐπὶ τοῦ θυσιαστηρίου κατάκαυ-
σιν. καὶ κελευσθεὶς εἰς τὴν τοῦ ἰσραὴλ μὴ ἐστιαθῆναι
χώραν. παραχρησθεὶς ὑπὸ τοῦ ψευδοπροφήτου χρη-
στότητα, ὑπὸ λέοντος θηρίου κατὰ τὴν ὁδὸν ἐφο=
νεύετο.

Τίνες μισθὸν δικαιοσύνης τὸ ἀποθανεῖν ἐκο- ν.
μίσαντο. καὶ τίνες δι' εὐσεβείας ἐπεβίωσαν.

Ὁ τοῦ ἱεροβοὰμ βασιλέως ἰσραὴλ υἱὸς, νέος ὢν ἀπο-
θνήσκει ἐπειδὴ εὑρέθη ῥῆμα ἀγαθὸν ἐν αὐτῷ
περὶ κυρίου ὡς ἀχίας ὁ προφήτης πρὸς ἄνω τὴν
μητέρα αὐτοῦ περὶ τῆς ζωῆς αὐτοῦ ἐρωτῶσαν ἔ-
φη; ἰωσίας εὐσεβήσας ὁ βασιλεὺς, ἐπὶ δικαιο-
σύνῃ ἀποθνήσκει. ἀκούσας παρὰ τῆς προφήτι-
δος ὀλδῆς. τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ προσ-
τίθημί σε πρὸς τοὺς πατέρας σου. καὶ προστε-
θείσῃ ἐν εἰρήνῃ ἵνα μὴ ἴδωσιν οἱ ὀφθαλμοί σου
πάντα τὰ κακὰ ἃ ἐγὼ ἐπάγω, ἐπὶ τὸν τόπον τοῦ-
τον καὶ πάντα τὸν λαόν. Κάϊν ἵνα ἕως ἑβδόμην
γενεὰν τὴν τῆς ἀδελφοκτονίας ... καὶ τὰ χανα- deest aliquid in MS
ναίων ἔθνη ἵνα πληρωθῶσιν αὐτῶν αἱ ἁμαρτίαι.

Τίνες οὐ νοσήσαντες ἀποθνήσκειν ἐ- να.
κελεύοντο.

Ἀαρὼν εἰς τὸ ὄρος ἀνελθεῖν κελευόμενος
ἵνα ἀποθάνῃ. μωϋσῆς ἔμβα καὶ τελεύτα ἀ-
κούων. δανιὴλ ἀκούων παρὰ τοῦ ἀγγέλου. καὶ σὺ βά-
διζε καὶ ἀναπαύου. καὶ ἀναπαύσῃ καὶ ἀναστή-
σῃ εἰς τὴν δόξαν σου, εἰς προθεσμίαν ἡμερῶν ἰ-
ωάννης ὁ εὐαγγελιστής.

Τίνες τῶν ἁγίων. τυφλοὶ τὴν ὅρασιν νβ
γεγονότες, ἀπέθανον.

Ἰσαάκ. ἰακώβ. ἠλεὶ ὁ ἱερεύς. ἀχίας ὁ προφή-
της ὁ σκαλωνίτης.

Τίνες διέμειναν οὐκ ἀπέθανον. νγ ἀπέθαν

Ἐνὼχ ἐν ἑβδόμῃ γενεᾷ τῇ ἀπὸ τοῦ ἀδὰμ μετε-
τέθη καὶ οὐχ εὑρίσκετο· ἠλίας ἐν ἅρματι πυ-
ρὸς ἀναληφθεὶς ὡς εἰς τὸν οὐρανόν· τοῦ δὲ μελ-
χισεδὲκ, θάνατος οὐ γέγραπται· ἐπεὶ μηδὲ
γέννησις· τέθνηκε γοῦν ἐπειδὴ καὶ γεγέννηται
διὰ δὲ τὸ τύπον αὐτὸν εἶναι τῆς ἀρχιερωσύ-
νης χριστοῦ, οὐκ ἀναγέγραπται.

νδ

## Τίνες ἀποθανόντες ἀνέζησαν.

Ὁ τῆς χήρας τῆς σαρεφθινῆς υἱὸς ὑπὸ ἠλιοῦ τοῦ
προφήτου· ὁ τῆς σουναμίτιδος υἱὸς ὃν ἐλισσαῖ-
ος ἀνέστησεν· ὁ ἐκκομιζόμενος καὶ διὰ τὴν
ἔφοδον τῶν λῃστῶν δεισάντων τῶν ἐκκομιζόντων
ἐπιρριφεὶς τῷ τοῦ ἐλισσαίου μνήματι, ἀναστὰς καὶ
πεφευγὼς μετὰ τῶν καταριψάντων αὐτόν· ὑπὸ
δὲ τοῦ σωτῆρος τρεῖς ἀνέστησαν νεκροί· ἡ τοῦ
ἰαείρου θυγάτηρ ἡ δωδεκαέτης· ὁ τῆς χήρας
μονογενὴς υἱὸς ἐκκομιζόμενος πρὸς αὐτὸ τὸ
μνῆμα. λάζαρος τεταρταῖος ὀδωδὼς ἀπὸ
τοῦ μνήματος κληθείς. τρεῖς ἐν τῇ παλαιᾷ·
τρεῖς ἐν τῇ νέᾳ· καὶ διὰ τῶν ἀποστόλων, ἡ δορ-
κὰς ἐν ἰόππῃ ὑπὸ πέτρου. εὔτυχος ὑπὸ
παύλου ἐν τρωάδι.

νε

## Τίνες στεῖραι τετόκασι.

Σάρρα ἡ τοῦ ἀβραὰμ γυνή, τὸν ἰσαὰκ γεννή-
σασα. ῥεβέκκα ἡ τοῦ ἰσαὰκ γυνή, τοὺς διδύ-
μους τὸν ἠσαῦ καὶ τὸν ἰακὼβ γεννήσασα. ῥαχὴλ
ἡ τοῦ ἰακὼβ, ἡ τὸν ἰωσὴφ καὶ τὸν βενιαμὶν γεν-
νήσασα. ἄννα ἡ τοῦ ἐλκανᾶ ἡ τὸν προφήτην
σαμουὴλ γεννήσασα· ἡ σουναμῖτις ἡ παρὰ τοῦ

ἐλισσαίῳ λαβοῦσα τὸν υἱὸν. καὶ ἀποθανόντα αὖ-
θις λαβοῦσα· ἐλισάβετ ἡ ζαχαρίου γυνὴ ἡ τὸν
βαπτιστὴν ἰωάννην γεννήσασα.

Τίνες πατέρα ἠτίμησαν. νϛ. πρα
Χὰμ ὁ νῶε· τὴν γύμνωσιν αὐτοῦ τοῖς ἀδελφοῖς
ἐξαγγείλας· ἡσαῦ παρὰ τὴν τοῦ πατρὸς γνώμην γυ-
ναῖκας χαναναίας ἀγαγόμενος· ἀβεσσαλὼμ ἐπ-
αρθεὶς κατὰ τοῦ δαβὶδ καὶ πολεμῶν αὐτῷ· καὶ τὰς
γυναῖκας αὐτοῦ μιάνας· ἀδωνίας αὐτοχειροτόνητον
ἑαυτὸν βασιλέα παρὰ τὴν τοῦ πατρὸς γνώμην ἀ-
ναδεῖξαι πειραθείς.

Τίνες ἀλαζονευσάμενοι κατηνέχθησαν. νζ.
Οἱ τὸν εἰς οὐρανὸν διήκοντα βουληθέντες οἰκοδο-
μεῖν πύργον, τῇ πολυγλωσσίᾳ διαχυθέντες φω-
νῇ· φαραὼ ἐπὶ τῇ ἑαυτοῦ δυνάμει θρασυνό-
μενος καὶ λέγων τὸν θεὸν οὐκ ἐπίσταμαι· καὶ τὸν
λαὸν οὐκ ἀποστέλλω· μετὰ τὰς δέκα πληγὰς ὑπὸ
βυθὸν πανστρατιᾷ καλυπτόμενος· ῥοβοὰμ κα-
ταφρονήσας τοῦ λαοῦ καὶ μεῖζον τοῦ σολομῶντος
τοῦ ἑαυτοῦ πατρὸς θελήσας φρονεῖν, τῆς πνευμα- πνικῆς
τικῆς ἐξέπεσεν ἀρχῆς· γολιὰθ μέγα φρονήσας κα-
τὰ παρατάξεως ὅλης τοῦ ἱεροῦ λαοῦ ὡς κύων λί-
θον νεανίου βαλόντος αὐτὸν κατέπεσεν· ἀ-
βεσσαλὼμ ἐπὶ κόμῃ, καὶ ἀδωνίας ἐπὶ κάλλει
ἐπαρθέντες, ἀτιμότατον ἑαυτοῖς βίον κατέστρεψαν·
ὁ τῶν βαβυλωνίων βασιλεὺς σενναχηρεὶμ μέγα κβ
θρασυνθεὶς ἐπὶ τῇ τῶν ἐθνῶν παραλήψει· καὶ κατὰ
τοῦ ἐζεκίου ὡς μὴ δυναμένου βοηθείας· διὰ ἐξα-
ψάκις κατεπαρθείς, τὸν ἑαυτοῦ στρατὸν θεηλάτῳ πλη-
γῇ ὑπὸ μίαν καιροῦ ῥοπὴν ἀπολλύς· καὶ δραπέτης

μόνος ἀποδιδράσκων εἰς τὴν ἑαυτοῦ γῆν. κακῶ-
σε πρὸς τῶν οἰκείων παίδων ἀναιρούμενος. ὁ συ-
Benhadad, ρίας βασιλεὺς ἀδὰδ ὁ υἱὸς πάντα τὸν τοῦ ἰσρα-
ὴλ λαὸν ἀφανίζειν ἀπειλῶν διὰ παιδαρίων σλβ
μυρίους πολεμήσας ἑαυτοῦ ἀπόλλυσι καὶ τὴν ὅλην
ἑαυτοῦ βασιλείαν διεφθείρετο. Ὀζίας ὁ βασιλεὺς
ἐπὶ δικαιοσύνῃ μέγα φρονήσας, καὶ ἱεράσθαι βουλό-
μενος λεπρωθεὶς, οὐ μόνον τῆς βασιλείας, ἀλλὰ
καὶ τῆς οἰκίας ἐξεβάλλετο. Ναβουχοδονόσορ ἐπὶ τῇ
πάντων κρατήσει τῶν ἐθνῶν. καὶ τῇ τῆς βαβυλῶνος
αὐξήσει τῶν ἅπαντας ἐπαρθεὶς, τὴν ~~[illegible]~~ ἀνθρώπου δι-
άνοιαν ἀφαιρεθεὶς, θηρίου ψυχὴν καὶ τρόπον ἔσχηκε.
καὶ φαρισαῖος ἐπὶ τῇ ἑαυτοῦ δικαιοσύνῃ μέγα φρονή-
σας. καὶ ἐπὶ ταύτῃ κατὰ τοῦ τελώνου θρασυνθεὶς, τὴν
δικαιοσύνην ἀπώλεσε.

νη Τίνες διὰ ταπεινοφροσύνης εἰς δόξαν καὶ ὕψος ἤχθησαν.

Ἰωσὴφ ταπεινοφρονήσας ἐφ' οἷς ὑπέμεινε χαλε-
ποῖς παρὰ τῶν ἀδελφῶν. καὶ τῆς κομισθείσης δεσποί-
νης εἰς τὸ κρατεῖν τῆς αἰγύπτου προήγετο. ἰακὼβ
φεύγων τὰς τοῦ ἀδελφοῦ ἀπειλὰς καὶ ξένην ἀντὶ
τῆς πατρῴας οἰκείας ἀλλαξάμενος, πλούσιος ἐπαν-
ήρχετο καὶ τίμιος. Ἰούδας ἐπιπεσὼν τῷ ἰωσὴφ ἐφ'
οἷς εἰς αὐτὸν ἐπλημμέλησαν, βασιλικοῦ γένους
ἀξιοῦται γενέσθαι φύλαρχος. Γαβαωνῖται τὸν ἰησοῦν
Jos. 9. 11. ὑπελθόντες ἐν τῇ τῶν ἐθνῶν παραλήψει διὰ τα-
πεινοφροσύνην ἐν τοῖς οἰκείοις μεμενήκασι τῆς
σωτη ~~[illegible]~~ρίας τετυ~~[illegible]~~χηκότες. δαβὶδ διόλου ταπεινοφρονῶν,
ἐφ' οἷς ὑπὸ τοῦ σαοὺλ ὑπέμεινε, καὶ τὴν βασιλεί-
αν ἀπελάμβανεν. ἱερεμίας ὑπομένων καὶ φυλα=

κιζόμενος ἐπὶ ταῖς ἀληθέσι προρρήσεσι· καὶ φέρων ταπεινοφρόνως, προστάξεις τοῦ λαοῦ κατὰ τὸν καιρὸν ἐγίνετο τῆς πολιορκίας· Νινευῖται ταπεινοφρονήσαντες ἐπὶ τοῦ Ἰωνᾶ κηρύγματος, ἐλέους τετυχήκασιν ἀπήμαντοι διαμείναντες· καὶ ὁ κύριος δὲ τὸν τελώνην πολλῇ ταπεινοφροσύνῃ εἰς τὸ ἱερὸν ἀνεληλυθότα· καὶ ἑαυτὸν ἐπὶ ταῖς πλημμελείαις κατακρίναντα, δεδικαιῶσθαι ἔφη ὑπὲρ τὸν μεγαλορρήμονα φαρισαῖον.

Τίνες ἐπὶ φόνοις ἐδράσαν, ἀπελέχθησαν καὶ εὐάρεστοι τῷ θεῷ γεγόνασι. νθ. can.

Μωϋσῆς τὸν αἰγύπτιον ἀνελών· καὶ ἐκδικίαν τοῦ ἀδικουμένου ἑβραίου ποιησάμενος· Φινεὲς ὁ τοῦ Ἀαρὼν υἱὸς τὸν ζαμβρὴν καὶ τὴν χασβὴν διελάσας· καὶ ὅλου Num. 25. 6. τοῦ κατὰ τοῦ λαοῦ δικαίαν τοῦ θεοῦ μῆνιν ἐξιλασάμενος· σαμουὴλ ὁ ἱερεὺς καὶ προφήτης τὸν τῶν ἀμαληκιτῶν βασιλέα τὸν ἀγὰγ ἀνελών· καὶ πληρώσας βουλὴν θεοῦ ἣν ὁ σαοὺλ οὐκ ἐπλήρωσεν· οἱ εἰς τὴν ἔρημον προσδεδραμηκότες καλοῦντι τῷ μωϋσῇ Num. 25. 4. 5. καὶ τοὺς προσήκοντας αὐτοῖς τοὺς ἐπιμεμενηκότας τῇ δυσσεβεῖ γνώμῃ τῆς εἰδωλολατρείας ἀποσφάξαντες· δαβὶδ τὸν νεανίαν τὸν ἀμαληκίτην τὸν καυχώ- 2. Sam. 1. 15. μενον ἐπ' αὐτοῦ ὡς τὸν σαοὺλ αὐτὸς ὁ ἐπισφάξας εἴη· καὶ τὸν ῥιχὰβ καὶ τὸν βαανὰν τοὺς τοῦ ῥεμμὼθ 2. Sam. 4. 12. υἱοὺς τοῦ βηρρωθέου· τοὺς τὸν μεμφιβοσθὲ τὸν τοῦ σαοὺλ υἱὸν ὡς πρὸς αὐτοῦ χάριν ἀπεκταγκότας· καὶ τὴν κεφαλὴν αὐτοῦ κομίσαντας αὐτῷ· ἡ γυνὴ ἡ τοῦ ἀβιμέλεχ ἀπὸ τοῦ τείχους κλάσμα τι μύλου Jud. 9. 53. 54. ἐπιρρίψασα αὐτῷ ἀνελοῦσα· ἡ γυνὴ τὸν ἀβεσσᾶ 2. Sam. 20, 22. μέλλοντα πολιορκίαν κινεῖν τῇ πόλει ἀναιρεθῆναι ποιήσασα· καὶ τὴν κεφαλὴν αὐτοῦ τῷ Ἰωὰβ ἀπὸ τοῦ τείχους ἀκοντίσασα.

ξ̅ Τίνες ἐπὶ παρανομίαις λιθόλευστοι ἀνῃρέ-
θησαν, καὶ τίνες ἐπ' ἀσεβείᾳ.

Lev. 24. 11. Ὁ Σαλαμὶθ, υἱὸς τῆς θυγατρὸς Δαβρὶς ἐπὶ βλασ-
φημίᾳ μετὰ ἑτέρου αὐτῷ μαχόμενος, θεὸν ἐβλασ-
φήμησεν· ὁ ἐν σαββάτῳ ξύλα ἐκλέξας εἰς τὴν
ἔρημον· Ἀχὰρ ὁ ἱερόσυλος ὁ ἐκ τῶν ἀναθημάτων
τῆς Ἱεριχοῦς ἀποκρυψάμενος:

ξα. Καὶ τίνες δίκαιοι ἐπ' ἀσεβείᾳ:
Ναβουθὲ ὁ Ἰσμαηλίτης συκοφαντηθεὶς ὑπὸ τῆς
Ἰεζάβελ· ὡς καταρασάμενος θεὸν καὶ βασιλέα·
2. Chron. 24. 21. Ζαχαρίας, ὁ ἀρχιερεὺς ὁ τοῦ Ἰωδαέ, ὑπὸ Ἰω-
ὰς βασιλέως ἀναμέσον τοῦ ναοῦ καὶ τοῦ θυσιαστη-
ρίου λιθασθείς· ὅτι παρῄνει αὐτῷ μὴ δυσσεβεῖν.

ξβ. Τίνες παρανόμους μίξεις πεποίηντο.
Λὼτ ταῖς θυγατράσι συμμιχθείς· Ῥουβὶμ τῇ τοῦ
πατρὸς παλλακῇ· οἱ ἐν Γαβαὰ τῆς φυλῆς Βενια-
μὶν τῇ τοῦ Λευΐτου γυναικὶ ἐπιξενωθέντας αὐ-
τοῖς συγχρησάμενοι· ὡς καὶ ἐκληθεῖσαν ἀποθα-
νεῖν ἐφ' ᾗ πράξει· καὶ πολὺς τοῦ λαοῦ φόνος ἐ-
γένετο: Ἀμνὼν τὴν ἀδελφὴν Θάμαρ παρθένον
φθείρας· καὶ μετὰ τὴν ὕβριν, τῆς ἑαυτοῦ οἰκίας ἀπο-
πέμψας· Ἀβεσσαλὼμ τὰς τοῦ πατρὸς γυναῖκας
ἐπ' ἀτιμίᾳ τοῦ πατρός, γνώμῃ τοῦ Ἀχιτώφελ
διαφθείρας.

ξγ. Τίνες διώνυμοι γεγόνασι·
Ἰωθὼρ ὁ τοῦ Μωϋσέως γαμβρός· καὶ Ῥαγουὴλ καὶ
Ἰωβὰβ κικλήσκεται· ὁ βασιλεὺς Γὲθ παρ' ᾧ ὁ
Δαβὶδ φεύγων κατήγετο· Ἰώσηππος δέ φη-
σι Μελχίαν ὀνομάσθαι ὑπὸ τῶν γονέων Μωϋ-

σὴν ἐν τῇ περιτομῇ· ὑπὸ δὲ τῆς ἀναλαβούσης αὐτὸν
τῆς τοῦ Φαραὼ θυγατρὸς, μωϋσέα προσονομᾶσθαι· γεδε-
ὼν ὁ κριτὴς, ὁ αὐτὸς ἐστὶν ἱεροβαάλ· ἀδωνίας ὁ καὶ
ὀζίας· ὀχοζίας ὁ καὶ λαζίας· ἠλιακεὶμ ὁ καὶ ἐλιακείμ·
ἰδιθοὺμ ὁ ψαλτῳδὸς, ὁ καὶ ἐθάμ· χειρὰμ ὁ ἐπὶ τοῦ σολο-
μῶντος τὸν ναὸν δειμάμενος, ὁ καὶ ἐχίας· ἔσδρας ὁ καὶ σα-
λαθιήλ· ναθανίας ὃν μετωνόμασε ναβουχοδονόσορ σε-
δεκίαν· Καὶ ἐν τῇ νέᾳ·
Πέτρος ὁ καὶ σίμων, καὶ συμεὼν καὶ κηφᾶς· θωμᾶς ὁ
καὶ δίδυμος· ~~θαδδαῖος~~ ὁ καὶ λεββαῖος· καὶ ἰούδας ἰακώ-
βου· μάρκος ὁ καὶ ἰωάννης·

ξδ̂

Τίνες δευτέρῳ ὀνόματι ἐπωνομάσθησαν·
Ἄβραμ, ἐπωνομάσθη ἀβραάμ· ἰακὼβ, ἰσραήλ· ἰωσήφ,
κομφθὸμ βανήχ· ἀνανίας, σεδράχ· ἀζαρίας, μισάχ·
μισαήλ, ἀβδεναγώ· δανιήλ, βαλτάσαρ· πασχὼρ, μέτ-
οικος· Καὶ ἐν τῇ νέᾳ·
Σίμων ἐπωνομάσθη πέτρος· ἰωάννης καὶ ἰάκωβος οἱ
ἀπόστολοι, βοανεργές· ὅ ἐστιν υἱοὶ βροντῆς·

ξε̂ ΒΙΒΛΟΣ Β̂

Τίνα ἐστὶ τὰ ἐπὶ τῆς μιᾶς θεότητος παραλαμβανόμενα·
Ἄκουε ἰσραήλ, κύριος ὁ θεός σου, κύριος εἷς ἐστιν· ἐ-
γώ εἰμι κύριος ὁ θεός σου· καὶ γνώτωσαν ὅτι σὺ κύ-
ριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν· καὶ ὁ κύ-
ριος φησίν· ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θε-
όν· καὶ ἡ κιβωτὸς ἐν ᾗ ὁ νῶε διεσώθη, εἰς ἕνα πῆχυν συν-
ετελεῖτο· εἷς ὁ ναὸς ἐν ᾧ ὁ θεὸς ἐλατρεύετο· εἷς ὁ νόμος·
~~μόνος~~ ἡ κιβωτὸς μία:

ξϛ̂

Τίνα δὲ τὰ ἐπὶ δυαδικῆς ὑποστάσεως·
Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ'
ὁμοίωσιν· ἰδοὺ γέγονεν ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν· τί τὸ
ὄνομα αὐτοῦ, ἢ τί ὄνομα τοῦ υἱοῦ αὐτοῦ· καὶ ὁ κύριος
φησίν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ ἵνα γινώσκωσι

σὲ τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέσταλας ἰησοῦν χριστὸν εἰς τὸν κόσμον. καὶ πάλιν· ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατὴρ καὶ μονὴν παρ᾽ αὐτῷ ποιησόμεθα. ἐν δύο πλαξὶν ὁ νόμος ἐνετέγραπτο· δύο καὶ ἐν τῷ μυστικῷ ᾄσματι τοῦ νυμφίου οἱ μαστοί, οἷς ἡ νύμφη τρέφεται ἐν νόμῳ καὶ ἐν χάριτι· δύο καὶ τῆς νύμφης, τὸ ἱερατικὸν καὶ λαϊκὸν τάγμα.~

ξζ. Τίνα τὰ ἐν τριαδικῶς παραλαμβανόμενα.

Δεῦτε καταβάντες συγχέωμεν ἐκεῖ τὰς γλώσσας αὐτῶν· τὸ βάπτισμα τὸ ἐν τριάδι εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. τρία νοερὰ τάγματα· οὐρανίων· ἀερίων· ἐπιγείων. τρεῖς τοῦ παντὸς γένους ἀνθρώπων γενάρχαι· σὴμ· χάμ· ἰάφεθ· τρεῖς οἱ τοῦ λαοῦ πατριάρχαι· ἀβραὰμ ἰσαὰκ ἰακώβ. ἡ κιβωτὸς ἐν ᾗ ὁ νῶε διεσώζετο, τρεῖς ἀριθμοὺς ἔφερε· τὸν λ· τὸν ν· τὸν τ· καὶ εἰς ἕνα πήχυν συνεπληροῦτο· ἡ μονάς, ἐν τριάδι γνωρίζεται. τρεῖς ἄγγελοι τῷ ἀβραὰμ ὤφθησαν τὴν ἐπαγγελίαν τοῦ ἐκ σείρας υἱοῦ ποιούμενοι· τρεῖς ἑορταὶ νόμιμοι ἐγνήσιοι· ἑορτὴ τοῦ φασέκ· ἑορτὴ τῆς ν· ἑορτὴ τῆς σκηνοπηγίων. τριῶν ἀνθρώπων μαρτυρία ἀληθής ἐστι· τρεῖς τὸ πνεῦμα μαρτυρίας φέρει· περὶ ἀληθείας· καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως· τρεῖς ὁ κύριος ἐν ᾅδου πεποίηκεν ἡμέρας· οὗ τύπος ἦν ὁ ἰωνᾶς.

ξη. Τίνες εἰσὶν οἱ σταθμοὶ τῆς πορείας τοῦ λαοῦ οἱ ἀπ᾽ Αἰγύπτου.

Τῷ πρώτῳ μηνὶ τῇ πεντεκαιδεκάτῃ τοῦ μηνός· οὗτος δ᾽ ἐστὶν ὁ παρὰ Μακεδόσι ξανθικός· ἀπῆραν

ἀπὸ ῥαμεσσῆ τῇ ἐπαύριον τοῦ πάσχα· φαγόντες τὸ
πρόβατον τὸ φασὲκ εἰς τὴν αἴγυπτον· πρῶτον τοίνυν
σταθμὸν ἦλθον εἰς σοχώθ· β̄ εἰς βουθάν· γ̄ εἰς πηρώθ·
δ̄ ἀπέναντι μαγδόλου· ε̄ ἀπέναντι ἠρώθ· ς̄ διέβησαν
τὴν θάλασσαν εἰς τὴν ἔρημον, ὁδὸν τριῶν ἡμερῶν· περά-
σαντες ἦλθον εἰς πικρίαν τρίτῃ ἡμέρᾳ τὴν διάβασιν τῆς
θαλάσσης ὁδεύσαντες· ἕβδομον σταθμὸν ἦλθον ἀπὸ
τῆς πικρίας· ἥ ἐστι μερρὰ πηγὴ εἰς ἐλίμ, ἔνθα ηὗρον
πηγὰς ιβ· καὶ φοίνικας ο̄· η̄ σταθμὸν ἀπὸ τῆς ἐλίμ
ἦλθον εἰς θάλασσαν ἐρυθράν· θ̄ ἀπὸ θαλάσσης ἐρυ-
θρᾶς, εἰς ῥαφικά· ῑ εἰς ἄλλην ἐλίμ· ια εἰς ῥαφι-
δίμ· ἐν τῇ ῥαφιδὶμ ἐπῆλθεν ὁ ἀμαλὴκ τῷ λαῷ· καὶ
ταῖς ἐπάρσεσι τῶν μωϋσέως χειρῶν κατεβλήθη ιβ ἐν
τῇ ἐρήμῳ σινᾶ· ιγ ἐν μνήματι τῆς ἐπιθυμίας· ἔνθα πολ-
λὰ γογγύσαντες· ἐπείπερ εἰς ἀνάμνησιν ἦλθον ὧν ἤσθι-
ον ἄρτων ἐν αἰγύπτῳ καὶ κρεῶν, κατεβόων τοῦ μωϋσέ-
ως τοῦ μάννα τοῦ ἐξ οὐρανοῦ νιφομένου βρώματος, τὴν
ὑπόσχεσιν ἐκομίσαντο, ἀπὸ τοῦ τῆς ἐπιθυμίας μνήμα-
τος· τεσσαρεσκαιδέκατον σταθμὸν ἦλθον εἰς ἀσηρώθ· ιε̄
ῥαθαμά· ις̄ εἰς ῥεμμωνφαρές· ιζ εἰς λεβωνά· ιη
εἰς δεσσελέθ· ιθ εἰς μακελάθ· κ̄ εἰς σαφάρ· εἰ-
κοστὸν πρῶτον σταθμὸν εἰς χαραδάθ· κβ εἰς μακε-
λώθ· κγ εἰς χατλοάθ· κδ εἰς ταράθ· κε εἰς ματ-
γεκκά· κς̄ εἰς σελμώνα· κζ· εἰς μασουρούθ· κη
εἰς βαμέθ· κθ εἰς τὸ ὄρος γαλαάδ· λ εἰς σελγε-
βαθά· λα εἰς σεβρωνά· λβ εἰς γεσιῶν γαβέρ·
λγ ἐν μηνὶ τρίτῳ ἀπὸ τῆς ἐξόδου ἐν τῇ ἐρήμῳ σινᾶ,
ἐνταῦθα ἰωθὼρ ὁ μωϋσέως γαμβρὸς παραγίνεται
πρὸς αὐτὸν ἄγων αὐτῷ τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς υἱούς·

ἐνταῦθα θεοῦ ἐπιφάνεια πρὸς μωϋσῆν καὶ διδασκα-
λία πρὸς τὸν λαὸν καὶ νομοθεσία. καὶ τοῦ λαοῦ δυσσεβεί-
α ἐπὶ τῇ μοσχοθεσίᾳ. ἐπεὶ δὲ ταῖς δυσσεβείαις τι-
μωρούμενος ὁ λαὸς πρὸς τὸ μὴ ἐπιβῆναι τῇ γῇ τῆς
ἐπαγγελίας, ~~[illegible]είλετο~~ κατὰ τὴν ἔρημον πλανώμενος.
καὶ τριακοστὸν τέταρτον σταθμόν, εἰς τὴν ἔρημον φαρὰν
κατήγετο ἥ ἐστι κάδης. λε ἀπὸ κάδης εἰς τὸ ὄρος
πλησίον τῆς ἐδώμ, ὅπου δὲ ἀποθνήσκει ἀαρὼν ἐν ἔτει τεσ-
σαρακοστῷ τῆς ἐξόδου ἀπὸ αἰγύπτου τοῦ λαοῦ τῷ πέμ-
πτῳ μηνὶ ὅς ἐστι παρὰ μακεδόσι λῷος μιᾷ τοῦ μηνός.
ἦν δὲ ἐτῶν ρκγ. ἀπὸ ὢρ τοῦ ὄρους τριακοστὸν ἕκτον
σταθμὸν ἦλθον εἰς ἐλμωνᾶ. λζ εἰς φινώ. λη εἰς ὠβώθ.
λθ εἰς γαὶ ἐπὶ τῶν ὁρίων μωάβ. ἐν τούτοις τοῖς ὁρίοις
τῶν μωαβιτῶν βασιλεύς, καλεῖ τὸν μάντιν τὸν βαλαὰμ
καταράσασθαι τὸν λαόν. τεσσαρακοστὸν σταθμὸν ἀπὸ τοῦ τελεσθῆναι τὸ βεελφεγώρ
μωὰβ τιμωρηθεὶς ἐπὶ τῷ
ἦλθον εἰς ζαρέδ. μα εἰς σοπερὰν ἀρνών. μβ εἰς φε-
αρ. μγ εἰς δεβωγγάδ. μδ εἰς γαιμὼν δεβλαθέμ. με
εἰς τὰ ὄρη τὰ ἀβαρεὶμ ἀπέναντι ναβαῦ. μϛ ἐπὶ δυσ-
μῶν μωὰβ κατὰ ἱεριχώ. μζ ἐπὶ τὸν ἰορδάνην ἀναμέσον
σιμώθ, ἕως βελσὰτ τὸ κατὰ δυσμάς, ἐνταῦθα μω-
ϋσῆς κατέληξε. καὶ τὸ δευτερονόμιον γράψας περὶ
τοῦ ἰορδάνου ἐν τῇ ἐρήμῳ. πρὸς δυσμὰς κατέληξε, τῷ
λαῷ ἐν ἔτει τεσσαρακοστῷ τῆς ἐξόδου ἐν τῷ ἑνδεκάτῳ μη-
νί. οὗτος δέ ἐστι δύστρος κατὰ μακεδόνας νεομηνίᾳ τοῦ μη-
νός. καὶ κελευσθεὶς ἀνελθεῖν ἐπὶ τῇ κορυφῇ τοῦ ὄρους φασ-
γά. καὶ θεάσασθαι πᾶσαν τὴν τῆς ἐπαγγελίας γῆν πόῤ-
ῥωθεν. ἐκεῖ γενόμενος ἐτῶν ἑκατὸν εἴκοσι, τελευτᾷ.

ξθ. Τίνα ἐστὶν ἃ τεθέαται μωϋσῆς θαυμάσια καὶ
δι' αὐτοῦ κατείργασται. βιβλ. α
Ἐν τῷ σινᾶ ὄρει τὴν βάτον ὁρᾷ καιομένην. ἀλλὰ κλο-

ἄζουσαν καὶ μὴ κατακαιομένην· σημεῖον αἰτήσας παρα-
σχεῖν, τῆς εἰς τὴν Αἴγυπτον αὐτοῦ ἀποστολῆς, τὴν ῥάβδον
τὴν ποιμενικὴν ῥίπτειν ἐκελεύετο· καὶ πάλιν τὸν ὄφιν ἀπὸ
τῆς κέρκου δραξάμενος, εἰς ῥάβδον ἐπανῆγε· τὴν χεῖρα
ἀποκρύπτειν εἰς τὸν κόλπον κελευόμενος, λευκὴν ὡσεὶ
χιὼν καὶ παρηλλαγμένην ἐξήγαγε· καὶ πάλιν ἀποκρύ-
ψας αὐτὴν, εἰς τὸ κατὰ φύσιν ἀποκαταστᾶσαν ἐπανή-
γαγε. κατιὼν ἐπὶ τὴν προτεθεῖσαν αὐτῷ λειτουργίαν
εἰς τὴν Αἴγυπτον, ἀγγέλῳ περιτυχὼν ἀπεπνίγετο· ἀλλ' ἡ
γυνὴ γνοῦσα τὸν ἄγγελον ἐξευμενισαμένη, νυμφίος σύ
μοι δι' αἱμάτων αὐτῷ φήσασα τῆς ἐπιθέσεως ἀπήλ-
λαξε. κατελθὼν εἰς τὴν Αἴγυπτον τὸ δαμαζόμενον τοῦ λα-
οῦ πλῆθος ὑπὸ τῆς τῶν Αἰγυπτίων δουλαγωγίας παρ-
εμυθήσατο. ὡς ὑπὸ θεοῦ ἦ ἀπεσταλμένος τὴν ἐλευ-
θερίαν αὐτοῖς πορίσασθαι. καὶ τῷ βασιλεῖ ἀπειθοῦν-
τι συγχωρεῖν τὸν λαὸν ἐπὶ θεοῦ λατρείαν ἐξιέναι
ταῖς ι' καταπληγαῖς ἐπήγαγε τοῦ λαοῦ συνιόντος
τοῖς Αἰγυπτίοις, καὶ μηδὲν ἐκ τῶν πληγῶν διὰ τὴν συν-
ουσίαν ὑφισταμένου. Πρώτη μὲν γὰρ πληγῇ τὰ Αἰ-
γύπτου ὕδατα εἰς αἵματα μετέβαλε· καὶ πάλιν
παρακληθεὶς, ἀπεκαθίστη. πληγῇ βατράχων πλή-
θει τὴν ἅπασαν Αἴγυπτον ἔπλησεν. ἐπειδὴ καὶ τού-
τους εἶπεν, συνήγαγε σκνιπῶν ἄπλετον γένος. τὸν
ἀέρα τῆς Αἰγύπτου συνεμέστωσε. κυνόμυιάν τε ἐπὶ
τούτοις τὴν ἀναισχυντοτάτην ἐπέθηκε τοῖς Αἰγυπτίοις·
οὐκ ἐνδιδόντων τὸν λαὸν εἰς τὴν τοῦ θεοῦ λατρείαν προ-
ελθεῖν εἰργάσατο. ἐπὶ δὲ τούτοις χάλαζαν
ἐπήγαγεν ἀναιροῦσαν. ἃ δὲ εὗρε κατελάμβανε.
ἔπειτα ἀκρίδων νέφη τοὺς καρποὺς ἅπαντας κατα-
λώσασαι. σκότος τε μόνον σκοτίζων τοὺς
Αἰγυπτίους τοῖς Ἑβραίοις οὐ μελαινόμενον. δεκά-

τὴν δὲ καὶ τελευταίαν ἐπέρριψεν αὐτοῖς πληγήν,
τὸν τῶν πρωτοτόκων ἄθροον ὑπὸ μίαν καιροῦ ῥοπὴν
θάνατον. μετὰ δὲ τὴν ἔξοδον τοῦ λαοῦ τὴν ἐπ' αἰγύπ-
του. ἐπιδιώκοντος αὐτὸν τοῦ αἰγυπτίου στρατοῦ, τὴν
ἐρυθρὰν διεῖλε θάλασσαν εἰς δίοδον τοῦ λαοῦ. καὶ
πάλιν ἐπήγαγε ταύτην κατὰ τοῦ διώκοντος βασι-
λέως. ὃν ἐπεκάλυψε τῷ τῆς θαλάσσης βυθῷ.
πλήξας ῥάβδῳ τὴν θάλασσαν· ὥσπερ αὐτὴν εἰς τὴν
τοῦ λαοῦ δίοδον καὶ πρότερον ἔπληξε. τὸ πικρὸν ὕ-
δωρ μερρᾶς τῆς πηγῆς μετέβαλεν εἰς νᾶμα πότι-
μον. ξύλον βάψας ἐν αὐτῇ ὥσπερ δὴ καὶ ἐκε-
※ λεύετο. μάννα προεῖπεν ὕειν τὸν θεὸν εἰς τὴν ἐρη-
μου τοῦ λαοῦ διατροφήν, καὶ οὕτως ἐγίνετο. ὀρτυγομή-
τραν καθίπτασθαι προειπών. ἐπιθυμήσαντος
κρέα φαγεῖν τοῦ λαοῦ. εἰς θεογνωσίαν τὸν λαὸν ἐπαι-
δαγώγει. ἐκ ξηρᾶς πέτρας ῥάβδῳ πληγείσης, πο-
ταμίων ὑδάτων ἄθροον ῥύσιν προείχατο. χει-
ρῶν ἐκτάσει πολέμου νίκην κατὰ τοῦ ἐπελθόντος
στρατοῦ τῷ λαῷ τοῦ ἀμαλὴκ εἰργάσατο. νόμον ~~[illegible]~~ ἐδέ-
ξατο παρὰ θεοῦ ἐν διπτύχῳ χαραχθέντα πλακί. τεσ-
σαράκοντα νηστεύσας ἡμέρας. καὶ πάλιν διὰ τὴν
τοῦ λαοῦ δυσσέβειαν τὰς θεογράπτους συντρίψας πλά-
κας. δεύτερον ἐπιβὰς τῷ σινᾶ ὄρει. καὶ νηστεύσας
ὁμοίως ἄλλας ἡμέρας μ. τὸν νόμον ἐν αἷς ἀνεκόμι-
σε λαξεύσας πλαξὶν ἀνενεώσατο. τὸ πρόσωπον
κατέβη δεδοξασμένος. ὡς μήτε τὸν λαὸν ἐνορᾶν
αὐτῷ δύνασθαι. καὶ αὐτὸς δὲ ἐνομοθέτησε πᾶσι δι-
καιώμασι τοῦ λαοῦ νενέμηκε ~~[illegible]~~ θείας ὑπηρεσίας τὰ θεῖα
πάντας τοὺς προφήτας ἠξίωσε. τὴν νοερὰν οὐσίαν θαυ-
μαστοὺς χαρακτῆρας ἐθεάσατο. παρ' οὗ γε τὴν ἱερὰν σκηνὴν
σκηνὴν κατασκευάζειν ἐκελεύετο.

ἀντίτυπον τῆς νοερᾶς κατεσκεύασεν οὐσίας. τὸ ἱερὸν
χρίσμα ἐν ᾧ τῇ ἱερωσύνῃ καθαρθεὶς συνετέθηκεν.
ἀρχιερέας ἀπέδειξε τὸν ἀδελφὸν ἀαρὼν καὶ τοὺς τούτου
παῖδας, δι' οὗ κατεσκευάσαι χρίσματος. τὴν ἱερὰν
σκηνὴν καὶ πάντα τὰ ἐν αὐτῇ τῷ ἁγίῳ χρίσματι
χρίσας ἡγίασε. Σάββατον αὐτὸς πρῶτος ὡρίσα-
το δείξας αὐτὸ διὰ τῆς διπλῆς ἐκλογῆς τοῦ μάννα.
καὶ τῆς ἀσήπτου διαμονῆς αὐτοῦ ἢ πρότερον ἐγνωσμέ-
νον. τρεῖς νομίμους ἑορτὰς τῷ λαῷ παρέδωκε τοῦ
ἐνιαυτοῦ τῷ θεῷ ἑορτάζειν. τοὺς μοσχοποιήσαντας ἐ-
τιμωρήσατο διὰ τῶν προσδεδεγμένων αὐτῷ. τρισ-
χιλίους τοὺς ἀνεπιστρέπτους ἀποκτείνας τὸν λαὸν ἐνομο-
θέτησεν. ἀπηρίθμησε καὶ τοὺς λευίτας ἀπ' αὐτῶν δι-
ελὼν περὶ θυσιῶν αὐτοῖς διετάξατο. καὶ ἀπάρσεως
τῆς ἱερᾶς σκηνῆς καὶ πορείας διετάκτο. πῦρ ἐπὶ τὸ
θυσιαστήριον κατὰ τὴν πρώτην πρόοδον ἐξ οὐρανοῦ κα-
ταβιβαζόμενον ἔδειξεν. ὃ καὶ διέμεινεν ἄσβεστον.
τοὺς προσαγαγόντας ξένον ἐκ τούτου πυρὸς ναβὰδ καὶ
ἀβιοὺδ τοὺς ἀρχιερεῖς, θεηλάτῳ πληγῇ καταπε-
σόντας ἀπέδειξε. καθαρῶν καὶ μὴ καθαρῶν ζώων
διάκρισιν ἐποιήσατο. περὶ ἁμαρτιῶν λύσεως τὰς
ἀφορισμένας θυσίας ἐξήταξε δεῖν προσάγεσθαι.
λεπρῶν καὶ ἀναπήρων διακρίσεις ἀπὸ τῆς ἱερᾶς
συναγωγῆς ὑπέδειξε. καὶ περὶ καθάρσεως αὐ-
τῶν τίνα προσάγεσθαι. καὶ ὅπως δεῖ διετάξα-
το. τοὺς ἀμορραίους ἀναιμωτὶ κατελθὼν τὴν
γῆν αὐτῶν ταῖς δύο φυλαῖς τῇ τοῦ ῥουβὶμ καὶ
τῇ τοῦ γὰδ ἀπένειμεν εἰς κλῆρον. τὸν τῶν μαδιανι-
τῶν ἀνεῖλε βασιλέα. καὶ τὸν μάντιν βαλαὰμ κα-
κοσύμβουλον αὐτῷ καὶ τοῦ λαοῦ γενόμενον. ~~τοὺς~~
τοὺς τελεσθέντας τῷ βεελφεγὼρ ἐκ τοῦ λαοῦ, δισ-

ὁρίου ξύλου

μυρίους τετρακισχιλίους ἀναιρεθησομένους προεῖπε· ση-
μεῖον καὶ τύπον τοῦ σωτηρίου σταυροῦ τοῦ κυρίου, ἐν ᾧ τὸν
ἀνέστησεν ὄφει χαλκέῳ προκατεβάλετο· ᾧ προσ-
βλέποντες οἱ δακνόμενοι ὑπὸ τῶν ὄφεων, οὐκ ἀπολλυν-
το· πέντε βίβλους τῷ λαῷ συνέταξεν· εἴς τε με-
λέτην διηνεκῆ· καὶ διδασκαλίαν λόγων ἱερῶν καὶ
μνήμην τῶν ὑπὸ αὐτῶν καὶ εἰς αὐτοὺς τεθαυμασμένων·
καὶ προφητείαν τῶν ἐπιόντων αὐτοῖς δεινῶν· ῥαθυμί-
αν τε ἀπὸ τῆς εὐσεβείας, καὶ ἀποκλίσει τῇ ἐπὶ δυσ-
σέβειαν κατέλιπεν· ἀλλὰ καὶ ᾠδὴν αὐτοῖς μετὰ τὴν
ἐπὶ τῇ διὰ θαλάσσης σωτηρίαν καταλεχθεῖσαν ἑ-
τέραν ᾖσεν ὡς τὰ ἔθνη προτιμηθήσεται αὐτῶν δυσ-
σεβησάντων τὰ πρότερα ἀσυνέτως καὶ ὑπὸ θεοῦ προσ-
ληφθήσεται πρὸς παροργισμὸν αὐτῶν τῶν ἐπὶ ταῖς
πολλαῖς εἰδωλολατρείαις παροργισάντων τὸν θε-
όν· ἔστι δὲ τὰ πέντε αὐτοῦ βιβλία· γένεσις· ἔξο-
δος· λευιτικόν· ἀριθμοί· δευτερονόμιον.

ἐρ. ο. Τίνα ἐστὶ τὰ διὰ Ἰησοῦ τοῦ Ναυῆ ἐπιτελεσθέν-
τα σημεῖα· καὶ δι' αὐτοῦ τῷ λαῷ κατεργασθέντα
θαύματα.

Τὸν Ἰορδάνην ποταμὸν εἰς τὸ παρελθεῖν τὸν λαὸν ἐ-
πὶ τὴν τῆς ἐπαγγελίας γῆν διεῖλε· δώδεκα λίθους κα-
τὰ ἀριθμὸν τῶν δώδεκα φυλῶν ἐκ τοῦ ποταμοῦ ἀ-
νακομισθῆναι μεγάλους ἐκέλευσεν εἰς μνημόσυνον
ἀποτεθειμένους τῷ λαῷ τῆς πορείας αὐτοῦ τῆς διὰ
τοῦ ξηροῦ γενομένου τοῦ ποταμοῦ· τὰς ἑξήκοντα μυ-
ριάδας τοῦ λαοῦ, πετρίναις περιέτεμε μαχαίραις·
τὰ ἐν Ἱεριχῷ τείχη σαλπίγγων ἠχῇ κατέστρεψα-
το· τὸν ἱεροσυλήσαντα ἀχαραῖον ὁ λαὸς ἡττᾶτο
κλήρῳ τοῦτον ἀνεύρηκε, καὶ λιθόλευσον ἀνεῖλε·

τὰς πόλεις τῶν ἐθνῶν καὶ τοὺς βασιλεῖς αὐτῶν ἀναιμωτὶ παρείληφεν. τὸν δὲ γαβαωνιτῶν τῶν αὐτομόλων τῷ λαῷ γεγονότων πόλεμον. εἰς τελείαν νίκην τὴν τούτων αὐτῶν, τὸν ἡλίου δρόμον ἔστησε. ταῖς φυλαῖς κατακληρώσας αὐτῶν τὴν γῆν ἣν παρείληφε παρὰ τῶν ἐθνῶν κατένειμε. τῷ πιστοτάτῳ Χαλὲβ τῷ τοῦ ἰεφωνῆ τὸν ἄξιον αὐτοῦ κλῆρον ἀπένειμε. τὴν ῥαὰβ τὴν τοὺς κατασκόπους δεξαμένην ἐτίμησε τῷ λαῷ συγκαταλέξαι αὐτήν. τοῖς ἱερεῦσι καὶ τοῖς λευΐταις τὰς πόλεις καὶ τὰ προάστεια ἀποδέδωκε. τὰς φυγαδευτηρίους ἓξ πόλεις ἀπέδειξε πάντα κατορθώσας καὶ τὰς μωϋσέως ὑποθήκας. ἀπολύων τὸν λαὸν ἐπὶ τοὺς κλήρους οὓς κατέσχηκεν αὐτούς. λίθον ἔστησεν εἰς μαρτύριον τῶν ἐπ' αὐτοῖς λεγομένων αὐτοῖς ὡς ἀληθῆ εἴη. ἃ δὲ ἦν ὡς μετ' αὐτὸν καταλείψουσι τὸν σωτῆρα καὶ προστάτην αὐτῶν γενόμενον θεόν, καὶ τοῖς τῶν ἐθνῶν εἰδώλοις προστεθήσονται. ὅθεν καὶ αὐτοὶ παραλειφθέντες ὑπὸ θεοῦ, δαίμοσιν οἷσπερ εἵλαντο ἐκδοθήσονται. καὶ μετὰ πολλὰς τιμωρίας ἃς καὶ ἐν τοῖς πατρῴοις κλήροις ὑποστήσονται τὴν ἐκβολὴν τὴν ἀπὸ τῆς γῆς, καὶ εἰς τὰ ἔθνη διασπορὰν γενησομένην αὐτῶν ἄτιμον ἐπιγνώσονται.

Τίνα ἐστὶ τὰ διὰ τῶν κριτῶν θαυμάσια γενόμενα. οα.

Τὸν ἀδωνιβεζὲκ βασιλέα τῶν ἀλλοφύλων ἑβδομήκοντα βασιλεῖς ἀκρωτηριάσαντα πολεμήσαντες, ποδῶν καὶ χειρῶν ἐξέτεμον. καὶ μυρίους αὐτοῦ στρατιώτας διὰ τῆς τοῦ ἰούδα φυλῆς ἀνεῖλε. τὸν βασιλέα μωαβιτῶν δουλαγωγήσαντα τὸν λαόν, ἐγλὼμ οὕτω ἐκαλεῖτο. ἀὼδ ὁ κριτὴς ἐπελθὼν ὡς δῶρον αὐτῷ περὶ

τὴν ὑπακοὴν ἐσόμενος· καὶ δωροδοκήσας ἀνεῖλε
δόλῳ· ἀμφοτεροδέξιος γὰρ ὢν ὁ ἀὼδ, καὶ δὴ
βουλόμενος αὐτῷ τὸ συμφερόντων ἰδίᾳ ἢ διάτι λέ-
γειν τῇ εὐωνύμῳ χειρὶ παρόντος οὐδενὸς, εἰς τὸν
κοιτῶνα αὐτὸν διεχειρίσατο· τὸν σισάρα πάλιν κρα-
τοῦντα τοῦ λαοῦ διὰ τὸ δυσσεβεῖν, δεββώρα τις γυνὴ
στείλασα ὑπὸ τῆς νεφθαλεὶμ φυλῆς βαρὰκ βασιλέα
τῶν Χαναναίων τυγχάνοντα κατεπολέμησε· καὶ
τετρακισχιλίους μετὰ αὐτοῦ στρατιώτας ἀναιρεῖ· αὐτὸν
δὲ τὸν σισάρα μόνον ἀποδράντα τοῦ πολέμου· ἰα-
ὴλ τις κιναιομένη φεύγοντα γυνὴ πρὸς τὴν ἑαυτῆς
οἰκίαν ὡς εἰς καταφυγὴν προσκαλουμένη, ποτίζει
γάλακτι διψῶντα καὶ κατακοιμίζει πρὸς τῷ ἐδά-
φει· ἀποκαθευδήσαντα δὲ αὐτὸν, πασσάλῳ διὰ τοῦ
κράνους περάσασα διαχρᾶται· ζητοῦντι δὲ αὐτὸν κα-
ταλαβεῖν, τῷ βαρὰκ δεικνῦσιν ἰαὴλ ἐν τῇ γῇ
καταπεπαρμένον. πάλιν μαδιναίων ἐπικει~~μέ~~
μένων τῷ λαῷ διὰ τὸ ἐπὶ ταῖς δυσσεβείαις ὑπὸ
θεοῦ ἐκκαταλελεῖφθαι, γεδεὼν δι' ἀγγέλου προ-
βάλλεται κριτής· καὶ σημεῖον οὗτος αἰτεῖ· εἰ προ-
στῆναι οἷός τε εἴη τοῦ λαοῦ, τοιοῦτον αὐτῷ δοθῆναι·
πόκον ἀποθέμενος ἐν τῇ γῇ, τέλον ᾔτει δρόσου
πληρωθῆναι τὴν περὶ τὸν πόκον· γῆς μηδ' ὅλως ὑγραι-
νομένης· ὡς δὲ οὕτως ἐγένετο, πάλιν ᾔτει τὸ μὲν
περὶ τὸν πόκον ἔδαφος ὑγραίνεσθαι· τὸν δὲ πόκον
ἀΰετον μένειν· ὡς δὲ εἶδεν οὕτω γινόμενον ὡς
εἰσήκει, ἐνεχείρει τοῖς προτεταγμένοις· καλεῖ γὰρ
συναράσθαι αὐτῷ τοὺς βουλομένους τοῦ λαοῦ ἐπὶ τὸν
ἐχθρῶν πόλεμον· καὶ συνέρχονται δισχίλιοι καὶ τρισμύριοι·

πολλοὺς δὲ αὐτῷ τοὺς συνεληλυθότας ὁ θεὸς εἰπὼν εἶ-
ναι ἀποπέμπειν ἐκελεύετο τοὺς δειλούς· μένουσι δὴ τού-
των ἀποπεμφθέντων μύριοι· βουλόμενος δὲ ὁ θεὸς αὐ-
τῷ δεικνύειν ὡς οὐ πολεμούντων πλήθει ἐξίσου τῶν
πολεμίων ἀπείρων ὄντων· ἀλλὰ θείᾳ χειρὶ πάλιν αὐ-
τῷ κελεύει κατιέναι πρὸς τὸν παρακείμενον ποταμόν.
Κἀκεῖσε δεικνύει τοὺς συνελευσομένους ἐν τῇ μάχῃ.
ὡς δὲ εἰς τὸ ὕδωρ πιεῖν οἱ μύριοι κατέβησαν, ἐπιτη-
ρεῖσθαι κελεύεται τοὺς τὰ στόματα τοῖς ὕδασι καταβάλλοντας,
κατακαμπτομένους ἐν τῷ πίνειν· καὶ ταῖς χερσὶν ἀνιμωμέ-
νους τὸ ποτὸν καὶ λάπτοντας ὡσεὶ κύνες· οὗτοι δὲ ὤφθησαν
ὄντες μόνοι τριακόσιοι· καὶ πάλιν ὁ πέμψας τοὺς ἐπ-
τακοσίους καὶ ἐννακισχιλίους, ἀρκεῖ, ὡς διὰ τῶν τριακοσίων
τοὺς πολεμίους ἀμαχητὶ τροπωθήσεσθαι· ὑδρείας ἐν αὐτοῖς
ἐπιφέρεσθαι καὶ λαμπάδας ἐν τῇ εὐωνύμῳ χειρὶ κελεύ-
εται, ^ εἶτα ἀπορρίψαντας τὰς ὑδρείας σαλπίζειν καὶ ἐπι- ^καὶ σάλπιγγας ἐν τῇ δεξιᾷ·
βοᾶν· ῥομφαία τῷ κυρίῳ καὶ τῷ Γεδεών· τέλος δὲ οὕτω
τεταγμένων, οἱ πολέμιοι δι' ἑαυτῶν ἐκόπτοντο· πλῆθος
ὄντες ἄπειρον· καὶ τέσσαρας βασιλεῖς τοὺς πολεμίους
χειρωσάμενος, πελεκίζει τὸν Ὠρὴβ καὶ Ζεβεὲ καὶ Σαλμα-
νᾶ· Μαδιανιτῶν καὶ Ἀμαληκιτῶν τοὺς βασιλέας.
Μετὰ δὲ ταῦτα πάλιν ἁμαρτάνοντι τῷ λαῷ καὶ δυσσεβοῦν-
τι ἐπικρατεῖς οἱ πολέμιοι γίνονται· κριτὴς Ἰεφθάε ὁ
Γαλααδίτης προβάλλεται· ὃς πολεμῶν τὸ τῶν Ἀμμανι-
τῶν ἔθνος ἐπηύξατο πρὸς τῇ νίκῃ τὸν ἀπαντῶντα αὐ-
τῷ ἀνιόντι ἐκ τῆς ἑαυτοῦ πρῶτον οἰκίας προσάγειν ὑ-
πὲρ τῆς νίκης εἰς θυσίαν· ἀπαντᾷ γοῦν αὐτῷ μονογενὴς
παρθένος ἣν εἶχε θυγάτηρ· καὶ προσήγαγε ταύτην ἐπι-
δούσης ἑαυτὴν καὶ τῆς κόρης. Πάλιν ἀπὸ τῆς εὐσεβεί-
ας ἀπορραθυμήσαντι τῷ λαῷ καὶ προσαπονεμημένῳ πρὸς
τὴν Φυλισταίων καὶ ἀποδρηνοῦντι τὴν ἐπάχθειαν, Σαμ-
ψὼν Ναζηραῖος τῇ ἀνατροφῇ γίνεται κριτής· ὃς ἐν τοῖς

δειξιν εἶχε τὴν δύναμιν. καὶ πρῶτον μὲν λέοντα κατὰ τὴν
ὁδὸν αὐτῷ περιτετυχηκότα, ἔκτεινε, ταῖς χερσὶ περιδρα-
ξάμενος. ἔπειτα εἰσελθὼν εἰς θέαν τοῦ νεκροῦ λέον-
τος. καὶ εὑρὼν ἑσμὸν μελισσῶν ἐπικαθεζομένων αὐ-
τοῦ τῷ κρανίῳ. μέλι λαβὼν ἐξ αὐτῆς, βέβρωκεν. ἀ-
θετούμενος δὲ γυναῖκα, ἣν ἐθνικὴν οὖσαν ἠγάγετο πα-
ρὰ τοῦ ταύτης πατρός. τιμωρεῖται τοὺς συμφύλους
αὐτῆς ταύτῃ. τριακοσίους ἀλώπεκας συλλαβόμενος.
καὶ κατὰ δύο προσδήσας αὐτῶν ταῖς κέρκοις λαμπάσιν
ἐξαμμέναις κατὰ τὰς χώρας ἀπέλυσεν. οὕτω γοῦν
αὐτῶν ἅπαντας τοὺς καρποὺς. καὶ γὰρ ἦν ἀμητοῦ καιρὸς
ἐνέπρησεν. ἔπειτα πολεμοῦσι τοῖς ἀλλοφύλοις τὸν
λαὸν διὰ τὴν τοιαύτην τοῦ Σαμψὼν ἀδικίαν, λύσιν
ὁμολογεῖται τοῦ πολέμου γενέσθαι, εἰ τὸν Σαμψὼν δέσ-
μιον αὐτοῖς παραδῶσιν. καὶ δήσαντες ἑκόντα οἱ
προσήκοντες καλωδίοις, παρέδωσαν τοῖς ἀλλοφύ-
λοις. ὁ δὲ παραυτίκα τὰ δεσμὰ διαρρήξας. καὶ σι-
αγόνα ὀστέου περιτυχὼν ὄνου, χιλίους αὐτῶν ἐν αὐτῷ
παίων ἀπέκτεινεν. ἐκ δὲ τοῦ κόπου τῆς ἀναιρέσεως αὐ-
τῶν δίψῃ φλεγόμενος, ἀπώλλυτο. καὶ πάλιν ἀπολα-
βὼν τὴν σιαγόνα, ὕδωρ αὐτῷ ῥύσασαν ὅσον ἰάσασθαι
τὴν δίψαν ἠδύνατο, εὕρατο. ἄλλοτε προσλαβὼν τῇ
Γαζαίων πόλει. καὶ καθευδήσας παρά τινι γυναι-
κί, ἐφυλάττετο πρὸς τῶν πολιτῶν πρὸς ἀναίρεσιν.
ὁ δὲ νύκτωρ ἐγερθεὶς καὶ τοὺς φύλακας θεασάμενος
ἐν ταῖς πύλαις καθεύδοντας, ἐφ' ὤμων μετὰ τῶν
παραστάδων, μοχλοῖς αὐτοῖς καὶ ἀφεὶς τὰς πύλας ἀρά-
μενος εἰς τὸν κατ' ἀντικρὺ τῆς πόλεως βουνὸν ἀπέθετο.
δέκα σταδίους ἔχοντα. ἡττηθεὶς δ' οὖν τὸ ὕστερον ἀλλο-
εθνοῦς πόθῳ γυναικός. καὶ τὴν ἀλκὴν ἔν τινι κέκληθ

βιασαμένης αὐτὸν ἐξειπεῖν, προδόθη τοῖς πολεμί-
οις. ἐπεὶ γὰρ ἔγνω τὴν ἀλκὴν τὸ γύναιον ἐν ταῖς θρι-
ξὶν αὐτοῦ παρεῖναι, ἀναλκῆ διέδειξεν αὐτὸν ἀπο-
ξυρίσασα· λαβόντες δὲ αὐτὸν, εἶχον αἰχμάλωτον οἱ
πολέμιοι. καὶ κατέπαιζον αὐτοῦ παρὰ τοῖς ἑαυτῶν
θεοῖς εὐωχούμενοι. καὶ τοὺς ὄμμασιν αὐτὸν πηρώ-
σαντες, ἐκόλαζον. Ὡς δὲ ἐπέγνω τὰς τρίχας αὐ-
τοῦ προϊέναι καὶ τὴν ἀλκὴν ἐγγίνεσθαι, ἐπεύχεται τῷ
θεῷ τὴν ἐκδίκησιν αὐτοῦ ποιεῖσθαι. καὶ κληθεὶς συνωχου-
μένων τῶν ἐχθρῶν παρὰ τοὺς ἐκείνων θεοὺς εἰς τὸ
καταπαίζεσθαι, ἠξίου τὸν ὁδηγὸν παρὰ τοὺς κίονας
ἄγειν αὐτὸν, τοὺς τὸν ναὸν ὑποφέροντας. ὡς δὲ ἦγεν οὐχ
ὁρῶντα, δραξάμενος τῶν δύο κιόνων. καὶ μέγα βοή-
σας πρὸς τὸν θεὸν καθ' ἑαυτοῦ. καὶ τοῦ συναλισθέντος
εἰς τὴν ἐφ' ὕβριν θέαν αὐτοῦ πλήθους, τὸν ναὸν ἐπεσπά-
σατο. οὕτω γοῦν τόν τε ναὸν κατέσπασε. καὶ ἑ-
αυτὸν μετὰ τοῦ τῆς πόλεως πλήθους ἀνεῖλε. πλεί-
ους ἀποκτείνας ἐν τῷ θνήσκειν. εἴπερ ζῶν ἀπέ-
κτεινεν.

## Τίνα ἐστὶ τὰ διὰ Σαμουὴλ διαπεπραγμένα θαύματα. οβ.

Μειράκιον ὢν, ἔτι θείας ἐπήκουσε φωνῆς ἐν τῇ ἱερᾷ
σκηνῇ τρεφόμενος. ὡς Ἠλεὶ ὁ ἀρχιερεὺς πανέστιος ἀ-
πὸ τῆς ἀρχιερωσύνης καθῄρηται. ἱερεὺς ὅμως καὶ προ-
φήτης καὶ κριτὴς γινόμενος τοῦ λαοῦ. ἐν ἀριστοκρατίᾳ
πρυτανευούσης, διετέλεσεν ἐν ἅπασι τὸν λαὸν εὐ-
νομεῖν ἐδίδασκε. καὶ τῶν ἀλλοφύλων πολεμεῖν κα-
τὰ τὸν τῆς διδασκαλίας καιρὸν ἐπελθόντων, παρε-
θάρρυνε παραινῶν, μὴ δεδιέναι τοῦ πλήθους τῶν
πολεμίων τὴν ἔφοδον. παραυτίκα δὲ τῆς ἐντεύ-
ξεως ἱερουργῶν, τοὺς πολεμίους ἐτρέψατο· καὶ τὰ

καὶ αὐτὸν ἀπεδίδου τῷ λαῷ νίκην πλουσίους· ἐξ
ὧν κατειλήφασι σκύλων μετὰ τὴν αἵρεσιν αὐτῶν
ποιησάμενος· αἰτήσαντι τῷ λαῷ τοῖς ἔθνεσιν ἴσα
βασιλεύεσθαι· κέχρικε βασιλέα τὸν σαούλ· καὶ
προεῖπεν αὐτῷ χρισθέντι τὰ κατὰ τὴν ὁδὸν ἀπ-
ιόντι πιστικὰ τὰ τῆς βασιλείας ἀπαντήσοντα
σύμβολα, δημηγορήσας τῷ λαῷ περὶ τῆς ἑαυτοῦ
πρότερον ἀριστοκρατίας, καὶ διδάξας αἰτουμένην
καὶ τὴν βασιλέως ἐξουσίαν· ὃ γὰρ ὧν ᾔδεισαν
ἡλίκη ἀναδείκνυσιν αὐτοῖς τὴν πεπεισμένων βα-
σιλέα· πρὸς γὰρ πίστωσιν αὐτοῦ τῶν ἀληθινῶν
καὶ τῷ θεῷ εὐδοκητῶν λόγων, ἐν ὥρα θέρους,
ὄμβρους αἰτήσασθαι τὸν θεὸν παρασχεῖν· καὶ παραυ-
τίκα βροντῶν καὶ θεοσημειῶν γινομένων, ὕσεν
ὁ θεὸς τοσοῦτον, ὡς δείσαντα τὸν λαὸν, τὴν ἐπομ-
90 βρίαν ὁμολογῆσαι γνῶσιν ἔχειν δι' αὐτοῦ τοῦ
θεοῦ· καὶ δεηθῆναι τοῦ θεοῦ τοῦ προφήτου περὶ
τῆς τῶν ὄμβρων ἀνοχῆς· ἁμαρτόντι τῷ σαοὺλ καὶ
ἀνηκουστοῦντι περὶ τὰ προστασσόμενα περὶ καθαι-
ρέσεως προεῖπε τῆς βασιλείας· καὶ ὡς ἑτέρῳ δέ-
δοται ζῶντος ἔτι αὐτοῦ προστάξει τοῦ θεοῦ τὸν δαβίδ,
υἱὸν ἰεσσαὶ τοῦ βηθλεεμίτου χρίει βασιλέα,
κρατοῦντος ἔτι τοῦ σαούλ· καὶ προεῖπεν αὐτῷ
ὡς εὐάρεστος ἔσται τῷ θεῷ. γηραιὸς δὲ γενόμενος
εἰς τὴν ἑαυτοῦ πόλιν, τελευτᾷ· υἱοὺς καταλεί-
ψας οὐκ ἐπαξίους τῆς ἑαυτοῦ διαδοχῆς·

## Τίνα ἐστὶ τὰ τοῦ ΔΑΒΙΔ πεπραγμένα, καὶ εἰς αὐτὸν θαύματος ἄξια πραχθέντα.

Χρισθεὶς εἰς βασιλέα, ἔμενε τὰ τοῦ πατρὸς νέμων ποίμνια· τέως τοῖς ἀνθρώποις ὢν ἄγνωστος· τὸν γετθαῖον γολιὰθ ἄνδρα γίγαντα καὶ παντὸς τοῦ ἑβραίων στρατοπέδου καταχειροτομοῦντα κατέβαλεν ἑνὸς λίθου βολῇ· λέοντας ἀναιρεῖ καὶ ἄρκους ἀποπνίγων χειρὶ τοὺς ἐπιόντας αὐτοῦ τῷ ποιμνίῳ· τὸν ἐνοχλοῦντα δαίμονα τῷ σαοὺλ ψάλλων ἔπαυεν τῆς ἐνοχλήσεως· καὶ καταπραΰνε τοῦ σαοὺλ ἄχθος· τοὺς δέκα πλασίους ἐπαίνους παρὰ τὸν βασιλέα σαοὺλ μαρτυρούμενος ἔχειν παρὰ προφητευουσῶν ἐν χορείαις παρθένων, οὐκ ἐπαίρετο τοῖς ἐπαίνοις, ἀλλ' ἐφθονεῖτο πρὸς τοῦ βασιλέως· τὰς τοῦ φθονοῦντος ἀναιρεῖν αὐτὸν ὁρμήσαντας πολλάκις προνοίᾳ θεοῦ διέφυγε χεῖρας τὰς ὁρισθείσας αὐτῷ ὑπὲρ μνηστείας τῆς μελχὸλ κατὰ δεινότητα τοῦ πατρὸς, ἑκατὸν ἐκόμισεν ἀκροβυστίας· τοὺς πεμφθέντας ὑπὸ τοῦ σαοὺλ ἄγειν αὐτὸν ἐπ' ἀναιρέσει προφητεύοντας ἔβλεπεν αὐτοῦ τὴν βασιλείαν· καὶ πάλιν τοὺς ἄλλους πεμφθέντας, τὰ αὐτὰ τοῖς προτέροις προφητεύοντας· ἐπειδὴ παρεγίνετο μὴ πιστεύων τοῖς ἀπαγγέλλουσι περὶ τῶν προφητευόντων ὁ σαοὺλ τὴν ἀναίρεσιν αὐτοῦ δι' ἑαυτοῦ ποιῆσαι βουλόμενος, αὐτὸς ἐβλέπετο προφητεύων ἀσχημόνως τὴν τοῦ θεοῦ βασιλείαν. ἐξ αὐτοῦ γὰρ ἠγνοούμενος καὶ γυμνούμενος ἐν ὑποθέσει ταῦτα ἀγνοῶν ἀνεφθέγγετο· φεῦ=

γων τὸν σαοὺλ εἰς τὴν ἱερατικὴν ἀπελθὼν πόλιν,
τὴν τοῦ γολιὰθ ἐκομίζετο μάχαιραν, τὴν ὑπ' αὐτοῦ
πρότερον ἀνατεθεῖσαν· καὶ τοὺς ἱερεῖς ἤλθεν ἅμα
τοῖς αὐτῷ σώζουσιν ἄρτους· ὑφ' ἧς εἰλήφει κακο-
χόλῳ τοῦ πατρὸς γνώμῃ γυναικὸς πρὸς ἀναίρε-
σιν, ὑπὸ ταύτης διεσώζετο, διὰ θυρίδος αὐτὸν
ἐκ τῶν φθονικῶν τοῦ πατρὸς χειρῶν εἰς φυγὴν ἐκ-
πεμψάσης εἰς βασιλέα τῆς γιτθήνης ἐλθὼν τὸν
ἀγχοῦς· καὶ ἐπιγνωσθεὶς αὐτὸς ὢν ὁ τὸν γολιὰθ
καταβαλὼν ἐπιληψίαν σοφισάμενος· καὶ διὰ
ταύτην οἰκτισθεὶς, ἀπελύετο τῆς ἀναιρέσεως· τοῦ
σαοὺλ διὰ τὴν αὐτοῦ δεξίωσιν ἀνελόντος τοὺς τῶν
ἱερεῖς πεφευγότα τὸν ἀβιάθαρ, ὑποδέχεται καὶ αὐ-
τὸς ἐν φυγαῖς διάγων καὶ ἐν τοῖς δεινοῖς ἱερω-
μένον. Τοὺς ἐπιόντας πολεμίους τῷ λαῷ ἐκδιω-
κόμενος τῆς ἰουδαίας ἐπὶ ὧν ἐπολέμει, καὶ τοῖς
ἐκδιώκουσιν αὐτὸν ἔπεμπεν ἀφαιρούμενος ἀπὸ
τῶν πολεμίων ἐθνῶν τὰ σκῦλα ἐπελθόντα τὸν
σαοὺλ δεύτερον, οὐκ ἀνεῖλεν· ἀλλὰ καὶ σημεῖα
τῆς ἐκδόσεως αὐτοῦ· ποτὲ μὲν τὰ τῆς χλαμύδος κρά-
σπεδα· ποτὲ δὲ τὸ δόρυ καὶ τὸ κυκτιποτιον ἀφε-
λόμενος· ἀπεδίδου δεικνὺς ὡς θεὸς ἀναμένει τὸν ἀμυ-
νόμενον· καίπερ λαβὼν παρ' αὐτοῦ τοῦ δύνασθαι
τὴν ἐξουσίαν. Ἐν τοῖς ὄρεσι καὶ ἐν ταῖς ἐρημίαις
κατὰ τὸν τῆς φυγῆς καιρὸν διάγων, φύλαξ ἐγίνετο τῶν
ποιμνίων καὶ τοῖς τὰ ποίμνια κεκτημένοις· ἦν καὶ
ἐν τούτοις ἐπίχειρος ἐνυβρίσαντα τὸν νάβαλ αὐ-
τὸν ἐν καιρῷ τῆς κουρᾶς τῶν προβάτων εὐλογίας ὑ-
πὲρ τῆς φυλακῆς τῶν ποιμνίων αἰτήσαντα τὴν
ὕβριν οὐχ ὑποίσας, ἤμελλεν ἀναιρεῖν ὁρμήσας·
εἰ μὴ σοφή τις ἡ τοῦ νάβαλ γυνή. Ἀβιγαία δὲ

ἣν ὄνομα αὐτῇ. ἀπαντιάσασα τοῖς δώροις αὐτὸν
καὶ προφητικοῖς ἐξευμενίσατο λόγοις. ἐκδικεῖται
πρὸς τοῦ θεοῦ, τοῦ νάβαλ τὴν ταχίστην ἀποθα-
νόντος. ~~[illegible]~~ ἀνανήψας γὰρ οὗτος ἐκ τῆς μέθης καὶ
γνοὺς ἃ τότε ἐνύβρισε, καὶ ἃ παθεῖν ἤμελλε, φόβῳ
καταπλαγεὶς, ἀποθνήσκει. τὸν ἀγχοῦς βουλόμενον
ἔχειν αὐτὸν σύμμαχον ἐν τῷ κατὰ σαοὺλ πολέμῳ.
οὐκ εἴων οἱ τούτῳ προσήκοντες. καίτοι καὶ τοῦ
δαβὶδ βουλομένου ἄλλην καὶ νῦν ἐπ' αὐτῷ τοῦ θεοῦ
πρόνοιαν, καὶ βουλομένου συμμαχεῖν αὐτόν, τοῖς ἀλ-
λοφύλοις ἐπὶ τῇ τοῦ σαοὺλ καὶ τῇ ἰωνάθαν ἀναι-
ρέσει. ἀποπεμφθεὶς ὑπὸ τοῦ ἀγχοῦ, ἀπὸ τῆς πρὸς
τὸν ἑαυτοῦ λαὸν μάχης εὗρε τὰς τοῦ ἰούδα πόλεις
ὑπὸ ἀμαληκιτῶν ἐσκυλεῦσθαι. καὶ καταδιώξας,
ἀναιρεῖ μὲν τοὺς πολεμίους. ἀποστέλλει δὲ τοῖς
ἐσκυλευμένοις τὰς ἑαυτῶν γυναῖκας καὶ τὰ τέκ-
να. καὶ προστάτης οὕτω καὶ κηδεμὼν ἀντὶ πολεμίου
τοῖς οἰκείοις ἐγίνετο. ἐν ταύτῃ ~~[illegible]~~ νόμον ἔθετο.
τὰ ἐκ πολέμων σκῦλα σκευοφύλαξι καὶ πολε-
μισταῖς ἐξ ἴσου δασμολογεῖσθαι. ἐπεὶ περ οἱ φαῦ- μερίζεσθαι
λοι τῶν μετ' αὐτοῦ καταδιωξάντων τοὺς ἀμαληκί-
τας, οὐκ ἐβούλοντο τῆς λείας ἀπονέμειν τοῖς δι' ἀρ-
ρωστίαν παραμεμενηκόσι τὸν τοῖς κοινοῖς ἐφοδί-
οις. ἀποθανόντα τὸν σαοὺλ ἐν τῇ πρὸς τὸν ἀλλό-
φυλον ἀγχοῦν μάχην, οὐχ ὡς πολέμιον ἤκουσε
πεσόντα. ὡς δὲ γνήσιον ἐθρήνησε καὶ κηδεμόνα.
καὶ τὸν ἐπιτάφιον αὐτοῦ τε καὶ τοῦ υἱοῦ συνέγραψεν
ὕμνον. τὸν δὲ κομίσαντα τὰ βασιλέως τοῦ σαοὺλ ση-
μεῖα καὶ τὴν ἀναίρεσιν αὐτοῦ μηνύσαντα. καὶ
δὴ πρὸς χάριν αὐτοῦ δεδρακέναι τι εἰς αὐτὸν φή-

σαντα. καὶ ὡς εὐαγγέλιον αὐτῷ παραγεγονέναι
δόξαντα, ὡς κακὸν ἄγγελον ἀνεῖλε·
Τρίτον εἰς βασιλείαν χρίεται· πρότερον μὲν ὑ-
πὸ τοῦ ἱερέως σαμουὴλ εἰς τὴν ἑαυτοῦ οἰκίαν τὴν
βηθλεέμ· δεύτερον δὲ ὑπὸ τοῦ ἰουδαϊκοῦ δήμου· καὶ
τρίτον ὑπὸ παντὸς ὁμοῦ τοῦ λεώς. εἰς ἣν δι-
έτριβε πόλιν τὴν χεβρών· τοὺς τὰ λείψανα τοῦ
σαοὺλ καὶ τοῦ υἱέως περιστείλαντας· ἀπὸ δὲ πό-
λεως ἦσαν ἰαβῆς οὕτω καλουμένης, καλέσας με-
γαλοπρεπῶς ἠγάσθη καὶ ἠξίωσεν εὐλογίας· ἐπ'
ἐχθροῖς οὐκ ἤσθη πώποτε ἀναιρουμένοις. καὶ τοὺς
τοὺς ἀνελόντας τὸν τοῦ σαοὺλ υἱὸν μεμφιβοσὶ πα-
ρά τισι τιμωμένους· καὶ τὴν τοῦ πατρὸς ἀρχὴν ὡς
ὀφειλομένην αὐτῷ δεῖν ὑπ' αὐτοῦ κατέχεσθαι
βουλομένους· τοσοῦτον οὐκ ἀπεδέξατο, ἀλλὰ
καὶ τισάμενος ἀνεσκολοπισμένους παντὶ τῷ
λαῷ τὰ σώματα αὐτῶν περὶ τὰς λεωφόρους ἐπ-
εδείξατο. ἐμίσει καὶ τοὺς ὑπὲρ αὐτοῦ δοκοῦντας
τί δρᾶν, ἐπ' ἀναιρέσει τῶν οὐκ ὀφειλόντων δι-
δόναι δίκας. ἰωὰβ οὖν γοῦν στρατηγὸν αὐτοῦ γε-
γονότα ἀποκτείναντα τὸν τοῦ μεμφιβοσοῦ στρα-
τηγόν. ἀβεννὴρ δὲ ἦν ὄνομα τούτῳ· τοσοῦτον ἀπ-
εστράφη, ὡς καὶ ἐν τοῖς ἐχθροῖς ἀριθμεῖν καὶ φυ-
λάττειν αὐτῷ, τὴν ὑπὲρ τοῦ κακῶς ἀναιρουμέ-
νου, οὐκ ἂν ἐκδίκητον τίσιν. ἕνεκα τῶν ἀκρο-
βυστιῶν, ἠγάγετο γυναῖκα τὴν μελχὸλ παρὰ
τοῦ πατρὸς ἐκδοθεῖσαν ἑτέρῳ τινὶ τῷ φαλ-
τία ταύτην ἀνειλήφει ἀπολαβὼν τὴν βα-
σιλείαν· οὔτε τὸν φαλτίαν ἀδικεῖν, οὔτε μοι-

χαλίδα τὴν μελχὸλ ~~[illegible]~~ γεγονέναι λο-
γισάμενος· τῆς ψυχῆς οἰκεῖα δείγματα ἔ-
χοντας σώματα τοὺς ἰεβουσαίους· χωλοὶ γὰρ
ἐτύγχανον καὶ τυφλοὶ πάντες εἴργειν αὐτὸν
πειρωμένους τὴν εἰς τὴν πόλιν εἴσοδον. κατα-
λαβὼν τὴν πόλιν· τὴν ἀναίρεσιν δὲ μὴ τὸν εἰρ-
γάσατο· τὰ ἐπικείμενα τῷ λαῷ πολεμικὰ ἔθ-
νη· καὶ τοὺς περιοίκους ἐχθροὺς τοῦ λαοῦ τοὺς ἀλλοφύ-
λους μωαβίτας τε καὶ σύρους, καὶ μὴν ἀμμανίτας
καὶ ἀμαληκίτας καθελὼν τῆς οἰκείας καὶ τοῦ λαοῦ
δυναστείας ὑποφόρους ἑαυτῷ πεποίηται· καὶ τὸν ἑ-
αυτοῦ λαὸν τὸν ἰσραὴλ ἀνειμένον ἐκ τῶν πάλαι
πολεμίων. καὶ φοβερὸν ἅπασι τοῖς ἔθνεσι κα-
τεστήσατο· τὴν ἱερὰν κιβωτὸν τὴν ὕπαιθρον καὶ ἀσ-
κήνωτον ἔτι οὖσαν εἰς τὴν ἑαυτοῦ πόλιν μετὰ δημοτε-
λοῦς ἀνήγαγεν εὐωχίας καὶ αὐτὸς τοῖς χορεύουσιν
ἐπὶ τῇ ταύτης ἐπανόδῳ συσκιρτῶν ἐπὶ θεοῦ
δόξῃ τὴν βασιλέως ἀξίαν ἀποτιθέμενος· τὴν δὲ
ἰδιώτου περιχάρειαν προαιρούμενος. βουληθεὶς να-
ὸν οἰκοδομῆσαι τῷ θεῷ διὰ τοῦ προφήτου νά-
θαν ἐκωλύετο διδασκόμενος τὸν ἐν πολέμοις κεκ-
μηκότα μὴ δεῖν τέμενος ἱερωσύνης παριστᾶν· τῷ
δ' ἐξ αὐτοῦ φῦντι, παρέχων τὸν θεὸν εἰρηναίαν
τὴν βασιλείαν. καὶ τὴν τοῦ ναοῦ κατασκευὴν προ-
φήτης ἐπιχέειτο· καταφρονούμενον ἐπιγνοὺς τὸν τοῦ
σαοὺλ υἱὸν διαπτοεῖ αὐτὸν εὐλάβειάν τε καὶ
τιμὴν ἐπιζητεῖας, κελεύει τοὺς ἐκεῖ προσήκον-
τας ὅπως αὐτοὺς ἀξιώσῃ τιμῆς τε καὶ εὐνοίας·
καὶ δὴ μηνυθέντος αὐτῷ παιδὸς ἰωνάθα μεμφι-

βαὰλ γὰρ ἦν ὄνομα αὐτῷ. οὗ καὶ τοὺς πόδας
πληγεὶς πεπήρωτο περιλελημμένου τινός, φιλο-
φρονεῖται αὐτόν· καὶ ὁμοέστιον εἶχε καὶ τὴν οὐσί-
αν ἅπασαν αὐτῷ δίδωσι τὴν σαοὺλ ἐπίτρο-
πον αὐτῷ δοὺς πάντων ὁμοῦ τῶν πραγμάτων σι-
βᾶν ὄνομα δοῦλον αὐτῷ πατρῷον γεγενημένον.
οὕτως ἦν καὶ περὶ τοὺς οἰχομένους ὁσιώτατος.
Ὁ τῶν ἀμμανιτῶν βασιλεὺς φεύγοντα δεξιωσά-
μενος αὐτὸν ἐν τοῖς φίλοις ἠριθμεῖτο· ἐπειδὴ
τεθνήκει τὴν ἐκείνου μνήμην τιμῶν, ἀπέστειλεν
ἐπὶ τὸν τούτου παῖδα ἄνανον τοὺς παρακαλέσον-
τας διάδοχον αὐτὸν τῆς πατρικῆς φιλίας εἶναι
βουλόμενος· ὁ δὲ ὡς κατασκόπους αὐτοῦ τῆς βα-
σιλείας τοὺς ἐπὶ τὴν παράκλησιν ἐσταλμένους νο-
μίσας, ξυρεῖν τοὺς πώγωνας αὐτῶν καὶ τὰς
χλαμύδας ἀποτέμνει. γνοὺς δὲ ὁ δαβὶδ τὴν
ἄφρονα τούτου πρᾶξιν, τοὺς μὲν οἰκείους κατὰ
χώραν μένειν ἐκέλευεν ἄχρι τῆς τῶν τριχῶν ἀναφύ-
σεως. τὸν δὲ ἄνανον πρὸς τῇ πονηρᾷ πράξει, ἐκ-
πολεμεῖν αὐτῷ παρεσκεύασε μεθ' ὧν κατεπόρθησε
διὰ στρατηγοῦ τοῦ ἰωβᾶ σὺν ἑτέροις πέντε βασιλεῦ-
σιν. οὓς συμμάχους ὁ ἄνανος συνεπηγάγετο. περιπε-
σὼν ἁμαρτάδι πικρῶς ἐδάκρυσε· καὶ περὶ συγγνώμης
ἱκέτευσε τὸν θεὸν ἐνθύμως· γυναῖκα γὰρ θεασάμε-
νος ἀπρεπῆ τὴν βηρσαβεέ· ταύτην οἴκαδε καλέσας
ἐκτίσατο· ὡς δὲ ἑαυτὴν ἔγνω γενομένην ἐγκύμονα,
δηλοῖ τῷ δαβὶδ ὅπερ ἐπεγνώκει· καὶ δὴ μηχανώμενος
τὸν ἄνδρα τῆς ἑαυτῆς διαλαθεῖν τὴν αὐτοῦ τε καὶ τῆς αὐ-
τοῦ γυναικὸς συνουσίαν καταπέμπει τοῦτον ἀπὸ τοῦ
στρατοπέδου· καὶ γὰρ ἦν ἀνδρεῖος τε καὶ εὔνους στρα-

τιώτης. ὡς δὴ γνωρίσαντα τῷ βασιλεῖ τὰ κατὰ τὴν
παράταξιν τοῦ πολέμου δεδεσμευμένα. ὡς δὲ ἀφικόμε-
νος εἶπεν ἕκαστα· εἰς τὴν ἑαυτοῦ οἰκίαν ἀπιέναι προσ-
επάττετο· ὁ δὲ οὐκ ἀπῄει· στρατιώτης γὰρ ἦν ἀνδρεῖ-
ος· ἀλλ' ἔμενεν ἐπὶ τῆς παρατάξεως λογισάμενος ἔτι
μένειν ὡπλισμένος ὑπέδριος. ἐπεὶ δὴ ὁ βασιλεὺς
ἔγνω πρὸς ἂν τὴν αὐτοῦ ταῖς μηχαναῖς τὴν ἔριν. καὶ
γὰρ οὕτως ἐκεκλήσκετο προβεβλημένην ἀνδρείαν τὸ
σοφίζεσθαι τὸν ἄνδρα. οὕτω γοῦν λογισάμενος, γρά-
φει τῷ τοῦ πολέμου στρατηγῷ μετιέναι τὴν οὐρίαν κἀκεῖ
τέχνῃ ἀνῃρησάμενον. καὶ γινομένου τούτου, ἔλεγχος αὐ-
τῷ τῆς ἐναγοῦς πλημμελείας νάθαν ὁ προφήτης ἀ-
ποστέλλεται. ὡς δὲ ἔγνω μὴ δεδυνῆσθαι κρύπτειν τὸν
θεὸν τὸ μεμηχανημένον, καταθρηνεῖ καὶ κατολο-
φύρεται τὴν δεινὴν ἑαυτοῦ πρᾶξιν. καὶ πικρὸν
σχετλιάσας τὸν οἶκτον, ἐξηγεῖτο ὅπερ ὁ προφήτης.
αὐτῷ πάλιν ἐλθὼν ἔφη δεδόασθαι δι' ὅπερ ἐπιούσης
ἐκδέξεται δίκης. ἐπεὶ δὴ ταύτῃ τῇ πλημμελείᾳ
ἄρχεται δεινὰ κατὰ πάσης αὐτοῦ τῆς οἰκίας καθὼς ἠ-
μάρτησεν. ἔδραμε γὰρ ἀμνὼν ὁ υἱὸς αὐτοῦ ἀδελ-
φῆς ἑαυτοῦ πρὸς πατρὸς τῇ θάμαρ. καὶ τυχὼν ἧς
εἴρα, πλεῖον ὅπερ αὐτῆς εἴρα παραυτίκα.
Ἀναιρεῖ δὲ τέλος τὸν ἀμνὼν ἀβεσσαλὼμ ὁ ἀδελ-
φὸς τῆς θάμαρ καὶ πατρὸς γεγεννημένος τὴν αἰσχρῶς
δι' ὑβρισμένην διεκδικεῖν βουλευσάμενος. ἐπανίσταται
δὲ ὁ τῆς ἀδελφῆς φονεὺς ἀβεσσαλὼμ καὶ αὐτῷ
τῷ πατρί. καὶ πληροῖ λύθρων τὴν τοῦ πατρὸς ὅλην
οἰκίαν. ὁ δὲ μὴ φέρων υἱὸς πρὸς μάχην ἀκροβο-
λίζειν καὶ νικᾶν ἥττης, οὐκ ἔλασσον ἀνείκειν. ἀπ-
ανίσταται τῆς βασιλικῆς αὐτοῦ οἰκίας ἀποδιδράσ-
κων ἐπὶ τὴν ἔρημον. καὶ ἐξέφερεν οὐ μόνον ἅπερ
ἔφερεν ἑαυτῷ γυμνόπους βαδίζων καὶ κλαίων ἀρχθεί,

ἀλλὰ καὶ ὑβριζόμενος ὑπὸ σεμεῒ τινὸς οἰκέτου
τοῦ σαοὺλ θεθνηκότος κόνιν καταπάσσοντος αὐ-
τόν· καὶ χέρμασι κατακοντίζοντος καὶ λοιδορουμέ-
νου· ἀλλ' οὐκ ἠμύνατο διὰ τὸν κακοσόμιον
καίπερ δυνάμενος διὰ τῶν ἑπομένων· ἐλογίζετο
γὰρ ταῦτα ταῖς οἰκείαις προσήκειν ἁμαρτήμασιν·
ἐπιτείνων δὲ ὁ ἀβεσσαλὼμ τὴν ἑαυτοῦ πα-
τρολῴαν πρᾶξιν, τολμᾷ καὶ ταῖς τοῦ πατρὸς
διαφθείρειν ἐν ὑπαίθρῳ γυναῖκας αἳ κατάλ-
λαοσον δεικνὺς τοῖς ὑπαχθεῖσιν αὐτοῦ τῇ κα-
κοπραγίᾳ τὴν κατὰ τοῦ πατρὸς ἐπανάστασιν· καὶ
ταῦτα καταπραξάμενος, ἔπεισι κατὰ τὴν ἔρημον
καθελεῖν ἀπὸ τῆς ἀρχῆς, τὸν ~~πατέρα~~ κατεπειγό-
μενος· καὶ συμβουλῆς κατ' αὐτοῦ γινομένης, κα-
ηντιβόλει τοὺς ἑαυτοῦ στρατιώτας ὁ δαβὶδ φεί-
δεσθαι τοῦ ἀβεσσαλώμ· καὶ προσέχειν ὅπως,
μηδὲν πάθοι δεινόν. Ἐν οὖν τῇ μάχῃ τρέ-
πεται, καὶ νῶτα δίδωσιν ὁ ὑπαχθεὶς ἄθλιος
τοῦ ἀβεσσαλὼμ δῆμος· αὐτὸς δὲ ὁ πατρολῴας
ὑπὸ τῆς δίκης ἐλαυνόμενος, ὑπὸ κλάδων ἀναρ-
τᾶται δρυός· καὶ γὰρ ἔτρεφε κόμας ἐφ' αἷς
ἠπείρετο· καὶ τὴν ἧτταν ἐπιγνοὺς, ἵπποις ἀπο-
διδράσκειν ἐπείγετο· οὕτω γοῦν αὐτὸν ἀνηρτημέ-
νον κατειληφότες οἱ τῷ βασιλεῖ προσήκοντες,
κατατοξεύσαντες ἀναιροῦσι· καὶ καθελόντες
κολοσσιαῖον κατὰ τὸν ἀπερισάλτου ταφῆς αὐτοῦ
σωρὸν ἐπήγειραν λίθων· ὁ δὲ δαβὶδ μαθὼν
τὴν ἔνδικον τίσιν, [illegible]ως ἐπὶ πατρολῴῳ πε-
σόντι πένθει· ὡς δὲ ἐπὶ παιδὶ γνησίῳ τεθ-

νηκότι, διεθρήνει· καὶ τὸν θάνατον αὐτοῦ περι=
παθῶς ὠλοφύρετο· ἔνθεν οὕτω τὸν διὰ τὸ πλημ-
μεληθὲν αὐτῷ συνολαρτηθέντων δεινῶν, ἀπηλ-
λαγμένην αὖθις ἀπειλήφει τὴν βασιλείαν· ἐπ-
ανελθὼν, εἰς τὰ βασίλεια· τοὺς μὲν ἁλόντας αὐ-
τοῦ πολεμίους γεγονέναι οὐκ ἐτιμωρήσατο· τοὺς δὲ
συνελθόντας αὐτῷ καὶ δεξιωσαμένους αὐτὸν ἐν
τῇ φυγῇ, καὶ ἐτίμησε καὶ συνεστίους ἐποιήσατο·
ἐν παρατάξει πολέμου διάγων· καὶ τῶν πολεμίων
τὴν περὶ τὸν ἑαυτοῦ στρατὸν ἅπασαν χώραν προ-
κατειληφότων ὕδατος ἐπεθύμησεν ἐξ ἰδίου λάκ-
κου τοῦ ἐν βηθλεέμ· οἱ δὲ στρατηγοὶ τὴν τῶν πο-
λεμίων διακόψαντες φάλαγγα, ὥρμησαν εἰς
τὴν βηθλεὲμ καὶ τὸ ὕδωρ αὐτῷ διεκόμισαν· ὁ
δὲ ἀποθαυμάσας αὐτοὺς τῆς τε ἀνδρείας καὶ
τῆς περὶ αὐτὸν εὐνοίας, οὐκ ἤνεγκε τοῦ ὕδατος
πιεῖν· αἷμα αὐτὸ τῶν στρατηγῶν εἶναι λογισά-
μενος· τῷ δὲ θεῷ τοῦτο δῶρον ἔπεισε θάψας·
ἐπενόησε παρὰ τῷ θεῷ δοκεῖν ἐπαριθμῆσαι τὸν
λαὸν, ὅπερ ἦγεν· ὑπομένει δὲ ἀγανάκτησιν
ἐπὶ τούτῳ· καὶ δι' αὐτὸν ὑπομένει θεήλατον ὁ
λαὸς πληγήν· καὶ θεασάμενος ἄπειρον πεσὸν τοῦ
λαοῦ ἐν ἡμέρᾳ μιᾷ πλῆθος, ἑαυτὸν ἠξίου κατα-
ληφθῆναι προσπεσὸν τῷ θεῷ τῇ τιμωρίᾳ· ἐγὼ
λέγων ὁ ποιμὴν ἥμαρτον, ^ καὶ τὸ ποίμνιον τί ἐ-   ^ καὶ ἐγὼ ἐκακοποίησα·
ποίησε· βουληθεὶς ὃν ἐπέγνω χῶρον ἐπιτήδειον
εἰς τὴν τοῦ ναοῦ κατασκευὴν εἶναι πριάσθαι παρὰ
ὄρνου τινός· τούτου τὸν τότε κεκλημένον προῖκα
τοῦτον αὐτῷ προσάγοντος οὐκ ἐδέξατο· τὸν τό-
πον οὐκ εὐαγῆ οὐδὲ εὐπρόσδεκτον λογισάμενος

εἶναι τὰ ἐκ θεωροδοκίας τῷ θείῳ καθωσιωμένα·
ἀλλὰ χρήματα δὲ ὅσαπερ ἐκεῖνος ἐβούλετο
τὴν ἐκ δικαιοσύνης οὕτως ἀνέθετο τῷ θείῳ κτῆ-
σιν· πᾶσαν αὐτοῦ συγγραφὴν ἐφ᾽ ἑκάστῳ τῶν
συμπιπτόντων δι᾽ ὕμνον συνεγράψατο, καὶ τὸν
ἅπαντα βίον τὸν ἑαυτοῦ θεὸν ὑμνῶν διετέλει.
καὶ ψαλτήριον δὲ μουσικὸν ὄργανον ἠχοῦν εἶ-
χεν ἐν τούτῳ· χοροὺς δὲ ἐποίησε ψαλτῳδοὺς, τὸ
λευϊτικὸν γένος ἅπαν ὑπὸ τοὺς τρισμυρίους
τότε· ὑπὸ τρεῖς ποιησάμενος χοροδιδασκά-
λους εἰς τὸ ψάλλειν διηνεκῶς καὶ ὑμνεῖν τὸν
θεὸν, τοὺς ἑαυτοῦ ὕμνους ἐκτάξας· καὶ πεποίηται
μὲν ψαλμοὺς ἀπείρους οὓς καὶ κατέλεξε τοῖς τῶν
λευϊτ[illegible]ῶν χοροδιδασκάλοις· Ἀλλ᾽ ὁ βασιλεὺς
ἐζεκίας τὸ ψαλμῶν πλῆθος εἰς ὀλιγωρίαν ἄγον
τοὺς λευΐτας. ἐπιλεγοὺς τοὺς ἑκατὸν τούτους καὶ
πεντήκοντα ψαλμοὺς διὰ τῶν ἐν τῷ λαῷ σο-
φῶν ἀπὸ τοῦ τοσούτου πλήθους ἐποίησεν ἐπιλαχ-
θῆναι· διάδοχον τῆς αὐτοῦ βασιλείας τὸν υἱὸν ἐ-
ποιήσατο τὸν σαλομῶν ὃν ἐκ τῆς βηρσαβεὲ ἐκ-
τήσατο· καὶ χρισθέντα διὰ τοῦ προφήτου νάθαν,
αὐτὸς ἐπικυρῶν αὐτῷ τὴν βασιλείαν προσεκύ-
ρωσε· παρῄνει δὲ αὐτῷ τὴν πρὸς τὸν θεὸν εὐσέ-
βειαν εἰλικρινῆ διατηρεῖν τῆς ἀρίστης [illegible] ἀρ-
χῆς ταύτην ὑπόθεσιν εἶναι λέγων· καὶ τὸν ναὸν
δὲ ἐκέλευσεν οἰκοδομεῖν αὐτῷ τὴν ὕλην αὐτοῦ
διάθεσιν μέτρα τε καὶ χρήματα τῆς ὅλης αὐτοῦ
δομήσεως παραδοὺς, καταλείψας αὐτῷ τὸν με-

μαλοπρεπῶς καὶ πολυτελοῦς κατασκευῆς ἐπάξια δαπανήματα· χρυσοῦ τὲ καὶ ... ἦν τάλαντα δεκάκις μύρια· ~~καὶ ἑκατοντάκις ἀργύρια~~ καὶ ἑκατοντάκις ἀργύρου μύρια τάλαντα. Χαλκοῦ δὲ καὶ σιδήρου σταθμὸς ὅσος ἦν ... εἰς ἀριθμὸν ἐλθεῖν οὐκ ἠδύνατο. Καὶ τοὺς ἐνυβρίσαντας αὐτῷ κατὰ τὸν τῆς δυσπραγίας καιρὸν, οὐκ εἴασεν ἀγνῶσαι. κατέλεξε δὲ καὶ τούτους τῷ σαλομῶν ὅπως αὐτοὺς ὑποβλέπεσθαι· τεσσαράκοντα δὲ βασιλεύσας ἐνιαυτοὺς, εὐκλεῶς τελευτᾷ, τῷ σαλομῶν παραδοὺς τὴν βασιλείαν.

Τίνα ἐστὶ τὰ τῷ Σαλομῶνι δεδρασμένα.

οδ.

Δωδεκαετὴς τῆς βασιλείας ἐφαψάμενος, τὸν ἀδελφὸν τὸν αὐτοῦ ὃς ἑαυτῷ τὴν βασιλείαν ἔτι ζῶντος τοῦ πατρὸς ἁρπάζειν ἐπηράθη· αἰτήσαντα δὲ καὶ γυναῖκα λαβεῖν τὴν συνευναθεῖσαν τῷ δαβὶδ παρθένον διαμείνασαν τὴν ἀβισαὰν, ἀνεῖλε. Τὸν ἀβιάθαρ ὃς ἦν ἀρχιερεὺς, τῆς ἱερωσύνης ἐξήλασε συνελθόντα τῷ ἀδονίᾳ εἰς τὴν ἀπὸ βασιλείας ἐπιχείρησιν. τὸν ἰωὰβ ὃς ἦν τοῦ πατρὸς στρατηγὸς εἰς τὸ θυσιαστήριον καταφυγόντα διὰ τὸ συμπράττειν τῷ ἀδωνίᾳ καὶ αὐτὸν ἀνεῖλεν. ὑπομνήσας αὐτὸν ὡς ἐπώφειλε τὸν τοιοῦτον θάνατον ἀποκτείνας παρὰ τὴν τοῦ πατρὸς γνώμην δύο στρατηγοὺς εὐαρέστους αὐτῷ, τὸν ἀβεννὴρ υἱὸν νὴρ· καὶ τὸν ἀμεσσὰ, υἱὸν ἰεθὲρ γεγενημένους. Τὸν σεμεῒ τὸν τοῦ ἀβεσσαλὼμ δοῦλον ὡς δυσπραγοῦντα τὸν πατέρα θεασάμενος κατηρᾶτο καὶ ἐλί-

θαψεν. εἰς τὴν ἱερουσαλὴμ περιώρισε. καὶ μηνυθέν-
τα αὐτῷ τὴν πόλιν που προεληλυθέναι. ὡς ὑπέρ-
φρονα τῆς βασιλέως γνώμης ἀπέκτεινε. χιλι-
όμβην πρώτην ~~πρώτην~~ ποιούμενος ἀπὸ τῆς ἑαυ-
τοῦ βασιλείας θυσίαν ἔθυσεν εἰς τὴν γαβαὼν
τῷ θεῷ. ὧδε γὰρ εἵλετο προσαγαγεῖν, τῆς ἱε-
ρουσαλὴμ οὐδέπω δομηθείσης ἐπὶ τῇ εὐσεβεῖ
θυσίᾳ κελευσθεὶς δι' ὀνειράτων θέας αἰτῆ-
σαι τί παρὰ τοῦ θεοῦ. σοφίαν ᾔτησε δι' ἧς τὰς
ἐνδίκους οἷός τε εἴη τοῦ λαοῦ κρίσιν ἐκφέρειν.
ἀποδεχθεὶς δὲ ἐπὶ τῇ τοιαύτῃ αἰτήσει, καὶ τὴν
σοφίαν εἰλήφει. καὶ ἅπερ οὐκ ᾐτήκει πλοῦτον καὶ
δύναμιν καὶ τὴν εἰρηναίαν διαγωγήν. δύσλυτον
ἔλυσε δύο γυναικῶν προλεχθουσῶν αὐτῷ κρί-
σιν, περὶ ζῶντος καὶ τεθνεῶτος κρινομένων παι-
δίων. ἐπιγνοὺς εἴπερ εἰλήφει σοφίᾳ καὶ τὸ ζῶν
ποίας εἴη γυναικὸς στοργῇ τῇ τοῦ παιδίου. καὶ
τὸ τεθνηκὸς ὡς τῆς ἑτέρας διὰ τὴν περὶ αὐτὸ τὸ
ζῶν ἀμφιδίας. ἀπόλεμον καὶ εἰρηναῖον ἀπὸ τῶν περι-
οίκων καὶ τῶν ἄλλων ἐθνῶν τὸν τῆς ἑαυτοῦ βασι-
λείας διετέλεσε χρόνον ὑπὸ τὰς ἑαυτὸν ἐ-
κείνας τοῦ λαοῦ διάγοντος. ἐν εὐφορίαις ἀνει-
μένος τὸν ναὸν ᾠκοδόμησεν ἐν τῇ ἱερουσαλὴμ
κατὰ τοῦ πατρὸς ὑποθήκας. ἐν ἓξ καὶ εἴκοσι
ἐνιαυτοῖς αὐτὸν ἐκτελέσας. καὶ τὴν ἱερὰν κι-
βωτὸν ἣν μωϋσῆς κατεσκεύασεν ἀναθεὶς
εἴσω βοῶν τε εἴκοσι καὶ δύο χιλιάδας διὰ
τῶν ἱερέων καταθύσας. καὶ τὸν λαὸν τῶν δώδεκα
φυλῶν εἰς τὸν ἐγκαινισμὸν συγκαλέσας ἐφ' ἡμέ-

ρας δὶς ἑπτὰ θύσας, ἀπέλυσεν ἀγαλλομένους·
τὴν αἰθιόπων βασιλίδα· σαβὰ δὲ ἦν ὄνομα
αὐτῇ· τῆς αὐτοῦ σοφίας εἵνεκα πρὸς αὐτὸν ἀφιγ-
μένης, ἐξέπληξεν ἐπὶ τῇ φρονήσει· καὶ περὶ πάν-
των ὧν τὸ μαθεῖν ἐβουλήθη γνῶσιν αὐτῇ, παρα-
δέδωκεν ἀπερικεσάλην πάσας τὰς ἔξωθεν και-
ρίας· ὑποτελεῖς τῇ ἑαυτοῦ σοφίᾳ ἐποιήσατο
βασιλείας· καὶ ἐκόμιζον ἐτησίους εἰσφορὰς πάν-
τες· ἐκ τοῦ χρυσοῦ τε καὶ ὧν εἶχον ἐξαιρέτων.
ἐν δώροις ἐπιχωρίων ἐπιτηδείων· τρεῖς βίβλους
ἐξέδωκε πρὸς παίδευσιν καὶ ἱερὰν ὠφέλειαν
τῷ λαῷ τιμιωτάτας· καὶ τὴν μὲν παροιμίαν· τὴν δὲ
ἐκκλησιαστήν· τὴν δὲ ἐπέγραψεν ᾆσμα ᾀσμά-
των· εἰσὶ δὲ αὐτοῦ καὶ ἕτεροι πλεῖστοι λόγοι οὓς ἀ-
πέκρυψεν ὁ εὐσεβὴς βασιλεὺς ἐζεκίας· οὐδὲν ὠ-
φελος ἐπιγνοὺς ἐπὶ πολλοῖς εὑρίσκεσθαι λόγοις·
τοὺς δὲ δαιμόνων ἐφεκτικούς, καὶ παθῶν ἰατρικούς, καὶ
κλεπτῶν φωρατικούς, οὓς τῶν ἰουδαίων ἀγύρται
παρ' ἑαυτοῖς φυλάττουσιν· ἐπιμελέστατα τῶν
πιστῶν τῆς ἁγίας ἐκκλησίας τούτοις οὐ κεχρημένων·
διὰ τῇ τοῦ χριστοῦ πίστει καθοσιοῦν ἑαυτοὺς δεδιδάχθαι·
ἐνδεκαετὴς καὶ πρὸ τῆς βασιλείας, υἱὸν φαίνεται
γεννήσας· δωδεκαετὴς δὲ γενόμενος ἐλήψατο
τῆς βασιλείας· βασιλεύει δὲ τὰ πάντα τεσσαρά-
κοντα ἔτη· καταλιπὼν ῥοβοάμῳ τῷ υἱῷ τὴν βα-
σιλείαν ἐνιαυτῶν ἑνὸς καὶ τεσσαράκοντα γεγονώς·
τελευτᾷ γυναῖκας ἑπτακοσίας καὶ παλλακὰς
τριακοσίας κτησάμενος· οὐκ εὐκλεῶς ἀπο-
θνήσκει· ὑπαίτιος ταῖς ἐθνικαῖς αὐτοῦ χαριζό-
μενος γυναιξί, ναοὺς τοῖς ἑαυτῶν θεοῖς ᾠκοδό-
μησε.

οε.

Τίνα ἐστὶ τὰ ὑπὸ Ἡσαΐου τοῦ προφήτου
πεπραγμένα ~~[illegible]~~ θαύματα.

Περὶ τῆς τοῦ Σωτῆρος παρουσίας, πολλοῖς καὶ ποι-
κίλοις τρόποις προεφήτευσεν. ὀφθαλμοφανῆ τὴν
δόξαν τοῦ Σωτῆρος τὴν θεϊκὴν, τοῖς προφητικοῖς ὀφ-
θαλμοῖς ἐθεάσατο. τῆς παρθενικῆς γεννήσεως τοῦ
κυρίου τὸν τύπον ἐπιδεῖξαι ἐν τῷ Ἐμμανουήλ. τεχ-
θέντι αὐτῷ κατὰ προφητείαν υἱῷ ἠξίωται. τὴν ἀγνω-
σίαν τοῦ λαοῦ τὴν περὶ τὸν Σωτῆρα καὶ τὴν διὰ τοῦτο
ἐπιβουλὴν αὐτῷ. καὶ τὴν τῶν ἐθνῶν ἀντεισαγωγὴν δι-
πλειόνων ἐξέφαινεν. ὡς καὶ ἐκ τῆς ῥίζης Ἰεσσαὶ ὁ
ἀνεφάνησε. τὸ αὐτὸς ὢν ὁ δίκαιος κριτής. καὶ
ἐξημερῶν τὰ θηρία πρὸς ἀνθρώπους εἰς τὸ καὶ ἡ-
μερῶς συνεῖναι τοῖς αὐτῶν κτήνεσιν. Προεῖπεν
ὡς τὰ εἴδωλα πάντα σὺν αὐτοῖς ναοῖς καθαιρε-
θήσονται. φανερῶς ἐξεῖπεν ὡς καὶ τὰς εἰς δυσσέβειαν
ἐναπομεινάντων πόλεις ἀνατραπήσονται. καὶ με-
τὰ ἔτη χρόνους ἀνακλιθήσονται τῆς Χριστοῦ θεό-
τητος. πρὸς ἐπίγνωσιν πολλαχῶς προεῖπεν ἑ-
κατὸν ὀγδοήκοντα καὶ πέντε χιλιάδων ἀναίρεσιν βα-
βυλωνίου στρατοῦ, τῇ Ἱερουσαλὴμ ἐπικειμένου. ἐ-
πὶ τοῦ βασιλέως Ἐζεκίου προεῖπεν ἔσεσθαι. κατ'
ἐκείνην ἣν προεφήτευσεν ἡμέραν ὁ τοσοῦτος θε-
ηλάτω πληγῇ νεκρὸς ἔκειτο στρατὸς, ὑπὸ μίαν
καιροῦ ῥοπὴν ἐν νυκτί. Ἀλλὰ καὶ Σενναχηρεὶμ
τοῦ βασιλέως τούτου τοῦ τοσούτου στρατοῦ προεῖπε
τὴν ἀπὸ τοῦ ἐπικεῖσθαι τῇ Ἱερουσαλὴμ μόνου φυ-
γήν. καὶ τὴν παραυτίκα ἐν τῇ οἰκίᾳ αὐτοῦ γενη-
σομένην αὐτὴν ἀναίρεσιν, καὶ οὕτω τὴν ταχίστην
ἐγένετο. ἀπαγορευθέντι τῷ βασιλεῖ Ἐζεκίᾳ

νοσοῦντι καὶ ἀκούσαντι ἐν τελευτῇ εἶναι τῆς βασιλείας ὥς
τε θνηξόμενον κλαύσαντι τῷ βασιλεῖ ἐπὶ τῇ τοῦ
ζῆν ἀπογνώσει. προεῖπεν ὡς οὐ τεθνήξοιτο. ἀλλ'
ὅτι καὶ πέντε καὶ δέκα ἐνιαυτοὺς εἰς τὸ βιῶναι ἔτι
προσειλήφει. τὸν ἥλιον προεῖπεν ἀπὸ δυσμῶν ἐπὶ ἀ-
νατολὴν ἀνατρέχων. σημεῖον τῆς ὑγείας δίδους ἐζε-
κίᾳ τῷ βασιλεῖ. καὶ τοῦτο μὲν ἐγίνετο ἀπὸ τῆς ἑνδε-
κάτης ὥρας ἐπὶ πρώτην. ἐπαναδεδραμηκότος τοῦ
ἡλίου ὥσπερ ἰσραήλ. Πρῶτος αἰχμάλωτος εἰς τὴν
βαβυλωνίαν διὰ τὰς δυσσεβείας ἀπαχθήσοιτο.
προεῖπεν ὅπερ ἐβεβαίωσε τῆς προρρήσεως μετὰ ἔτη η̄
πληρωθείσης. ὡς καὶ ἰούδας εἰς τὴν βαβυλωνίαν αἰχμά-
λωτος διὰ τὰς αὐτὰς τῷ ἰσραὴλ δυσσεβείας ἀπαχθή-
σοιτο προεῖπεν. ἀλλὰ καὶ ἐζεκίᾳ τῷ βασιλεῖ τοῖς ἀ-
πὸ βαβυλωνίου ἐπίσκεψιν αὐτοῦ ἀποσταλεῖσιν ἐπι-
δείξαντι τὸν ἑαυτοῦ πλοῦτον καὶ τὰ κειμήλια. προεῖπεν
ὡς τὴν βαβυλωνίαν ταῦτα ἀπαχθήσοιτο σκῦλα γενη-
σόμενα, καὶ οἱ αὐτοῦ ἔγγονοι παράληπτοι τοῖς βαβυ-
λωνίοις ἔσονται. καὶ κῦρον τὸν περσῶν βασιλέα μετὰ
ρ̄ καὶ ε̄ ἐνιαυτοὺς τῆς αὐτοῦ προφητείας τίκτεσθαι μέλ-
λοντα. καθαιρήσοντα τὴν βαβυλωνίων ἀρχὴν προηγό-
ρευσε. καὶ ὡς τοὺς ἰουδαίους ἀπὸ τῆς αἰχμαλωσίας ἀνή-
σειν. ὡς καὶ ἐπαναχθεὶς ὁ ἰουδαίων λαὸς αὖθις ἐκδο-
θήσοιτο τῇ ἐν ἅπασι τοῖς ἔθνεσιν αἰχμαλωσίᾳ. διὰ
τὸ ἀπειθῆσαι ἐν εὐτελεῖ σχήματι παραγινομένῳ
χριστῷ. ἐμφανῶς προεφήτευσεν ὡς τὰ ἔθνη προσ-
λήψεται χριστὸς διὰ τῆς εἰς αὐτὸν πίστεως. καὶ τιμήσει τοῦ
ἀχαρίστου λαοῦ ἀποβληθέντος, ἐκήρυξεν ὡς μετὰ τὴν
ἀποβολὴν πάλιν ὁ λαὸς ἀπὸ τῆς τῶν ἐθνῶν διασπο-
ρᾶς χριστῷ πιστεύσας ἐπαναχθήσεται. ταῖς πρὸς τοὺς
πατέρας ἀγαθαῖς ὑποσχέσεσι πληρούμενος. μετὰ τὴν ἐκ-
τησιν τῆς διὰ τὴν εἰς χριστὸν τόλμαν τιμωρίαν, πολλὰς
προρρήσεις ἐξεῖπεν. Ἐπ' ἔτη οὖν ἑκατὸν πεντε-
καίδεκα προφητεύσας ὑπὸ μανασσῆ τοῦ βασιλέως,

ὡς ἡ παράδοσις ἔχει πρισθεὶς ἀνῃρέσθαι· ὡς δὲ τὸ γράμμα τῆς προφητείας αὐτοῦ δηλοῖ· ἐπὶ Η καὶ
οε Π ἔτη προεφήτευσεν.

Τίνα ἐστὶν ἃ Ἱερεμίας προεφήτευσε, καὶ προφητεύων ὑπέμεινε.

Πρῶτον ἰσχὺς αὐτῷ δίδοται παρὰ θεοῦ πρὸς τὸ δύνασθαι φέρειν τὰς κατ' αὐτοῦ κινουμένας τοῦ λαοῦ καὶ τῶν ἀρχόντων ἐπαναστάσεις· προλέγων τῷ λαῷ τὰ ἐπερχόμενα διὰ τὴν ἀπείθειαν δεινὰ καὶ μὴ πιστευόμενος, ὑπέμενε τέως μόνος τὰ χαλεπά· εὐχὰς προσάγειν τῷ θεῷ ἀπὸ τοῦ λαοῦ διεκωλύετο, ὡς οὐκ ἀκουσθησόμενος διὰ τὸ ὑπερβάλλειν τὰς τοῦ ἔθνους ἁμαρτίας τὰς ὑπὲρ αὐτῶν τῶν ἁγίων πρεσβείαις· τῶν ψευδοπροφητῶν τὰ ναντία αὐτῷ καὶ τὰ πρὸς ἀρεσκείαν τοῦ λαοῦ προφητευόντων καὶ πιστευομένων, ὕβριν ὑπέμεινε καὶ χαλεπῶς ἠνιᾶτο· προύλεγε καὶ ὡς ὁ Ἰσραὴλ τῆς σωτηρίας τῆς τῷ λαῷ ὑπεσχημένης ἐκβληθήσεται, καὶ τὰ ἔθνη ταύτης τεύξηται· τύπους ὑποδειγματικοὺς ἐθεάσατο· τὴν μὲν τὴν παντελῆ διαφθορὰν καὶ ἀνεπίστρεπτον ὑπομενόντων τοῦ λαοῦ ἐν τῷ κεραμείῳ τοῦ πεσόντος κεράμου καὶ συντριβέντος δεικνυμένην· τὴν δὲ ἀνακληθησομένων ἐν τῷ ἀποπεσόντι ἐκ τῶν χειρῶν τοῦ κεραμέως ἀπὸ τοῦ ὀργάνου σκεύει καὶ πάλιν ἀναληφθέντι ὑπ' αὐτοῦ ἀπὸ τοῦ ἐδάφους καὶ ἀναπλασθέντι· Βασιλεῖ τοῦ Ἰούδα τῷ Ἰωαχὰζ πρὸ ἑνὸς αἰχμάλωτος ἀχθεὶς τὸ πρὸς τὸ τοῦ βαβυλωνίου καὶ τῆς βασιλείας παντελῶς ἐκπεσεῖσθαι· ἀλλὰ καὶ τῷ Σεδεκίᾳ προέλεγεν ὡς παντελῶς αἰσχρῶς τὴν ἑαυτοῦ καταστρέψεσθαι βασιλείαν, καὶ τὴν βαβυλωνίων ἀρχὴν μετὰ ο ἔτη τῆς τοῦ Ἰεχονίου ἀποικίας καθαιρεθήσεσθαι·

προεφήτευσε καὶ τὸν λαὸν μετὰ τῆς βασιλείας ἐπα-
ναχθήσεσθαι καθαίρεσιν τοῖς μετὰ Ἰεχονίου εἰς τὴν Βαβυ-
λωνίαν ἀποικισθεῖσιν, ὑπὸ ψευδοπροφητῶν ἀπατω-
μένοις ὡς ἐπαναχθήσονται τὴν ταχίστην· ἐπέστελλε
μὴ πείθεσθαι τούτοις· ἀλλ' ἐκδέχεσθαι καὶ τοὺς ἐν τῇ
Ἰουδαίᾳ μετὰ τοῦ Σεδεκίου μεμενηκότας ἅμα αὐτοῖς
ἀποικίσεσθαι. Τίνα ἐστὶν ἃ προεφήτευσε Σοφονίας· οζ.
Ὡς ἐκκάθαρσις τῆς κακίας γενήσεται· ὡς ἡ Ἱερουσαλὴμ
τὰ Χαναναίων πράξασα, τὰ Χαναναίων πείσεται· κα-
τὰ τῶν ἐθνῶν προλέγει τῶν ἐπαναστάντων τῷ λαῷ ὡς
τιμωρηθήσονται, καὶ κατὰ τῆς Νινευῆ ὡς ἐπαρθεῖσα,
κατενεχθήσονται.

Τίνα προεφήτευσεν Ἀγγαῖος. οη.
Μετὰ τὴν ἐπάνοδον τοῦ λαοῦ τὴν ἀπὸ τῆς αἰχμαλωσίας
προφητεύων αἰτιᾶται τοῖς ἐπανελθοῦσιν ὅτι ῥαθυ-
μότερον προσφέρονται τῇ τοῦ ναοῦ οἰκοδομῇ, καὶ προτρέ-
πεται ταύτης ἔχεσθαι· τότε Ζοροβάβελ καὶ τῷ τοῦ
Ἰωσεδὲκ Ἰησοῦ τοῖς τοῦ λαοῦ ἡγεμόσι προφητεύει
ὡς ἔχουσι τὸν Θεὸν προστάτην· ἐπί τε τῇ τοῦ ναοῦ
οἰκοδομῇ καὶ τῇ τοῦ λαοῦ ἐπιστασίᾳ· καὶ πρὸς τοὺς ἱερεῖς
ἀποτείνεται ὡς ἡ δικαιοπραγία τὸν ἁγιασμόν, οὐχ ἡ
τῶν ἱερῶν βρωμάτων ἡ βρῶσις παρέχεται.

Τίνα προεφήτευσε Ζαχαρίας. οθ.
Ὑπόμνησιν ποιεῖται τῶν προγονικῶν δυσσεβειῶν
τοῦ λαοῦ, δι' ἃς ἀπήχθησαν εἰς αἰχμαλωσίαν· δι'
ὀπτασίας τῶν ἵππων εἰδέας· καὶ ἐπιβάτου ἵππου
τὴν γεγενημένην δι' ἀγγέλων ὁρᾷ τοῦ λαοῦ μετὰ τὴν
ἐπάνοδον ἡγεμονίαν· καὶ τῶν τεσσάρων βασιλειῶν
τῶν ἐκπολεμησάντων τὸν λαὸν τὴν καθαίρεσιν, ὁρᾷ
ἐν τέσσαρσι κέρασι διὰ τεσσάρων τεκτόνων γενη-
σομένην. Ὁρᾷ καὶ τὴν Ἱερουσαλὴμ τὴν ἐντελῆ θείαν
οἰκοδομίαν· καὶ τὴν ἐκ διασπορᾶς τοῦ λαοῦ ἐπάνοδον

πληρωθησομένην· καὶ τὴν ἐπανάστασιν τοῦ διαβόλου τὴν
κατὰ Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἀρχιερέως. ὃς καὶ ἦν τοῦ
κυρίου ἡμῶν Ἰησοῦ τοῦ οὐρανίου ἀρχιερέως τύπος.
ὁρᾷ καὶ τὴν ἐξ ἐπιτιμήσεως θεοῦ πτῶσιν γεγενημένην
τοῦ διαβόλου· τὴν τοῖς ἐπιορκοῦσι πανώλεθρον ἐθεάσα-
το διαφθοράν. καὶ τὴν τῶν δυσσεβούντων εἰς βυθὸν ᾅδου
κατάπτωσιν· τὴν περὶ κόσμου ἀγγελικὴν ἐπιστασίαν
τεθέαται ἐν τύπω τεσσάρων ἁρμάτων ποικίλοις ἵπ-
ποις ὑπεζευγμένων ἐπιδειχθεῖσαν. εἶδε καὶ τὸν ἐν τύ-
πω τοῦ σωτῆρος ἀρχιερέα τὸν ἐν τῇ ἐπανόδω τοῦ λα-
οῦ ἀρχιερατεύσαντα Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ ἐξ ἀδοξί-
ας εἰς δόξαν προεληλυθότα. Προεφήτευσε καὶ περὶ
τῆς τῶν ἐθνῶν ἐν πίστει προλήψεως, καὶ τῆς τοῦ Ἰσραήλ.
μετὰ ταῦτα πληρωθησομένης· καὶ ὡς ὁ ἀντίχριστος ἐπιθή-
σεται τῇ τοιαύτῃ προσλήψει· εἰς δύο ῥάβδους πε-
ρικοφθησομένας τὰς δύο κλήσεις ἐπιτυπῶν. προεῖ-
πε καὶ περὶ τῆς τοῦ κυρίου προδοσίας· ὡς ἀντὶ τῆς ὀφειλο-
μένης αὐτῷ παρὰ τοῦ λαοῦ τιμῆς εὐεργεσίας, λ' χρυ-
σῶν αὐτὸν ἐτιμήσαντο, ὧν ὑπὲρ τῆς προδοσίας ἰού-
δας εἰλήφει. καὶ ὡς ἐν τῷ γαζοφυλακίω τὸ χρυσίον
ἐβάλλετο. καὶ πάλιν εἰς τιμὴν τοῦ ἀγροῦ τοῦ κεραμέ-
ως ἐξοδιάζετο. καὶ περὶ τοῦ ἀντιχρίστου πάλιν ὡς ἐπι-
θήσεται τοῖς ἁγίοις καὶ καθαιρεθήσεται. Προεφή-
τευσε καὶ περὶ τοῦ σωτηρίου πάθους Χριστοῦ, καὶ τῆς ἐν-
δόξου παρουσίας αὐτοῦ. καὶ ὡς ἐπὶ τοῦ ὄρους τοῦ ἐλαιῶ-
νος φανήσοιτο. προεῖπε καὶ τὴν τῶν γὼγ καὶ μαγὼγ
ἔφοδον κατὰ τῶν ἁγίων τόπων πληρωθησομένην ἐν τέλει·
καὶ τὴν θεήλατον αὐτοῦ τιμωρίαν. ἀλλὰ καὶ ὡς εἰς ὕστε-
ρον τὰ ἔθνη τοῦτον πορισμὸν ἕξουσι σωτηρίας· τὴν εἰς
τὴν Ἱερουσαλὴμ θείω τελουμένην προσκύνησιν ὑπ' αὐ-
τῶν ἐπιτελεσθησομένην.

Τίνα προεφήτευσε Μαλαχίας. π.

Ὀνειδίζει τὸν λαὸν ὡς γεγονότες υἱοὶ τοῦ Ἰακὼβ, τοῦ προτιμηθέντος ὑπὸ θεοῦ παρὰ τὸν Ἡσαῦ ἀγνώμονες περὶ τὸν τετιμηκότα πεφήνασιν. ἐγκαλεῖ καὶ τῷ ἱερατικῷ τάγματι, ὡς ἐκλεχθέντες ἐν τῷ Λευὶ εἰς τὸ ἱερατεύειν ἀμελεῖς περὶ τὴν ἱερωσύνην ἁλίσκονται. μέμφεται καὶ τοῖς τὰς γαμετὰς ἀδίκως ἀπολύουσι. καὶ τοῖς τὴν παρὰ θεοῦ δικαίαν κρίσιν περὶ πάντων ἐκφέρεσθαι μὴ προσδοκῶσι. καταχρίνει καὶ τοὺς τὰς νομίμους ἀπαρχὰς καὶ δεκατίας μὴ προσάγοντας τοῖς ἱερεῦσι. καὶ τοὺς ἐξουθενοῦντας τὴν θείαν λατρείαν προφητεύει. καὶ ὡς ἡ δικαία κρίσις τοῦ θεοῦ περὶ πάντας ἐκφανήσεται.

Τίνα ἐστὶ τὰ διὰ Ἠλία γεγονότα θαυμάσια σημεῖα. πα.

Ἐξ ὀλίγης τοῦ ἀλεύρου καὶ ἐλαίου ἐν καιρῷ λιμοῦ πεμφθεὶς εἰς Σαραφθὰ τῆς Σιδωνίας. γυναῖκα χήραν καὶ τὸν ταύτης υἱὸν καὶ ἑαυτὸν ἐπὶ τριετῆ διέθρεψε χρόνον. δεύτερον, υἱὸν τοῦ σταθμούχου τῆς χήρας ἀποθανόντα ἀνέστησε. τρίτον, πῦρ ἐξ οὐρανοῦ ἐπὶ τὰ ἱερεῖα κατήγαγε. τέταρτον, ὑετὸν ἐξ ἀνομβρίας προειπὼν ἔσεσθαι εὐθέως ἐπήγαγε. πέμπτον, πεντηκόνταρχον ἐπ᾽ αὐτὸν ἐλθόντα παραστάσεως ἕνεκα τῆς πρὸς βασιλέα καὶ τοὺς πεντήκοντα αὐτοῦ φορᾷ πυρὸς οὐρανίου ἐνέπρησε. καὶ πάλιν τὸν ἐλθόντα δεύτερον ὁμοίως ἀνεῖλεν. ἕβδομον, τῇ μηλωτῇ τὸν Ἰορδάνην περάσας διεῖλε πλημμυροῦντα ποταμὸν, εἰς πάροδον αὐτοῦ τε καὶ Ἐλισαίου.

Τίνα ἐστὶ τὰ διὰ Ἐλισσαίου γεγονότα διπλᾷ ἐν πνεύματι Ἠλίου θαυμαστὰ σημεῖα. πβ.

Ἰορδάνην ποταμὸν τῇ τοῦ Ἠλίου μηλωτῇ διελὼν, παρελήλυθε. β τὰ ἐν Ἱεριχῷ ὕδατα ἄγονα ἰά-

σατο. ζ τεσσαράκοντα παῖδας διαπαίζοντας αὐτὸν,
ἄρκτοις δυσὶν ἐξελθεῖν κελεύσας ἀπὸ τοῦ δρυμοῦ διεχει-
ρίσατο. δ ἀτέκνῳ γυναικὶ στεῖρα οὔσῃ τῇ σωμανί-
τιδι, υἱὸν ἐδωρήσατο. ε. καὶ τοῦτον πενταετῆ γενό-
μενον καὶ ἀποθανόντα, ἀναζῆσαι ἐποίησε. ϛ θα-
νάσιμον βρῶμα διάλευρον ἐπιβληθέντος, ἀβλα-
βὲς ἀπετέλεσεν. ζ ἐξ ἄρτων κριθίνων ι ἑκατὸν
ἄνδρας ἐν καιρῷ λιμοῦ χορτάσας, καὶ περισσεῦσαι ἐ-
ποίησεν. η νεεμὰν λεπρωθέντα σύρον τῆς λέπρας
ἰάσατο. θ τὸν γιεζῆ χρήματα παρ' αὐτοῦ κομι-
σάμενον ἐλέπρωσεν. ι σίδηρον ἀναπλεῦσαι
ἀπὸ βυθοῦ, τῇ τοῦ στειλαίου ἐποίησεν ἐπῳδῇ. ια τοὺς
ἐπ' αὐτὸν ἐλθόντας στρατιώτας σύρους, ἀορασίᾳ
περιβαλὼν, εἰς τὴν πόλιν εἰσήγαγε. ιβ πολιορκου-
μένῳ βασιλεῖ καὶ συνεχομένῳ εἰς τὴν σαμάρειαν
τῶν πολεμίων ἐπιχειρουμένων, καὶ διὰ τοῦτο λιμῷ πάντων
~~πάντων~~ τῶν ἐν τῇ πόλει φθειρομένων ἀφθονίαν σίτου καὶ κρι-
θῶν ἀθρόον προεῖπεν ἔσεσθαι. καὶ ἀγγελικῇ δυνάμει
οἱ πολέμιοι ἐξελαύνοντο, [καὶ αἱ τροφαὶ εὑρήντο] ιγ τρεῖς βασιλεῖς καὶ
στρατὸν ἄπειρον διὰ δίψαν ἀπολλύμενον. ὑδάτων
ἀθρόον ἐπιφορᾷ ῥαγδαίῳ ποτῷ διέσωσε. ιδ ἐ-
λαίου ῥύσιν χήρᾳ γυναικὶ μελλόντων δουλοῦσθαι διὰ
πατρῷον χρέος τῶν [υἱῶν] αὐτῆς πρὸς τὴν τῶν χρεωστῶν ἔκτισιν,
καὶ διατροφὴν αὐτῶν καὶ τῆς μητρὸς ἐποιήσατο. ιε ἐν τῷ
τῷ μνήματι αὐτοῦ νεκρὸς ὑπὸ τῶν ἐκκομιζόντων
αὐτὸν ἐπιρριφεὶς ἀνήλατο. καὶ μετὰ τῶν ἐπιρριψάν-
των αὐτὸν ἔθεεν ἐπὶ τὴν πόλιν. καὶ γὰρ ἦσαν ὁρμῶν-
τες εἴσω τῆς πόλεως, λῃστὰς ἐπιδιώκοντας αὐτοὺς
ἀποδιδράσκοντες.

πζ

Τίνα ἐστὶν ἃ προεφήτευσεν Ἠλίας.

Βασιλεῖ τοῦ Ἰσραὴλ τῷ Ἀχαὰβ εἶπεν· ὡς οὐ μὴ βρέ-
ξῃ ἕως ὅτου πάλιν αὐτὸς τὸν ὄμβρον ἐπικαλέσοιτο·
καὶ οὕτως ἐγένετο.

Ὀχοζίᾳ τῷ τοῦ Ἀχαὰβ υἱῷ νοσοῦντι καὶ ἀποστείλαντι
παρὰ τὸν ἐν τῇ Ἀκκαρὼν θεὸν ἐπερωτᾶν εἰ ζήσεται, τοῖς
ἀγγέλοις αὐτοῦ περιτυχὼν προεῖπε λέγειν αὐτῷ· καὶ
ὅτι δυσσεβῶν παρὰ δαιμόνων περὶ τοῦ ζήσεσθαι τὰς μαν-
τείας αἰτεῖ· καὶ διὰ τοῦτο οὐ ζήσεται.

Τίνα ἐστὶν ἃ Ἐλισσαῖος προεφήτευσεν. πδ.

Ἐλθὼν εἰς τὴν Δαμασκὸν, Ἀζαήλῳ προεῖπεν, ὡς ὁ μὲν τῆς
Δαμασκοῦ βασιλεὺς ὁ Ἄδερ τεθνήξεται· ἐτύγχανε δὲ ἀπ-
εσταλμένος ὑπ' αὐτοῦ κακούμενος πευσόμενος αὐτὸν εἰ ζή-
σεται· αὐτὸς δὲ διάδοχος αὐτοῦ τῆς βασιλείας ἔσται· καὶ παμ-
πολλὰ τὸν Ἰσραὴλ ἐνδείξεται δεινά. καὶ τὸν Ἰοῦ προεῖ-
πε τῶν Ἰσραὴλ ἐπὶ τετάρτην αὐτοῦ γενεὰν βασιλεύειν.
ἐπὶ καθαιρέσει τοῦ οἴκου τοῦ τοῦ Ἀχαὰβ βασιλείας προβε-
βλημένον εἰς τὴν βασιλείαν· παραγενομένῳ πρὸς αὐτὸν Ἰω-
ίης προεῖπεν· ὡς τρίτον προσβαλεῖ τῇ βασιλείᾳ Δα-
μασκοῦ, καὶ νικήσει τὸν κατ' αὐτῆς πόλεμον. Καὶ ἐπειδὴ
ἐκέλευσεν αὐτῷ τοξεύειν συντομώτατα· τρίτον ἀκοντή-
σας τὸ βέλος, ἐπέσχε τὴν βολήν· λυπηθεὶς δὲ ὁ προφήτης
ἔφη, τὸ τρίτον ἐκνικᾶν· εἰ γὰρ πέμπτον ἠκόντισεν ἂν
πλήρης τὴν Δαμασκηνῶν ἤμελλε καθαιρεῖν βασιλείαν.

Τίνα ἐστὶν ἃ Γὰδ προεφήτευσεν. πε.

Ἀπαριθμήσαντι τῷ Δαβὶδ παρὰ τὸ δοκοῦν τῷ θεῷ τὸν
λαὸν ἀγανακτεῖν ἔφη τὸν θεὸν κατ' αὐτοῦ, καὶ ἐκ τριῶν
ἐπικειμένων τιμωριῶν. διὰ δὴ τοῦ λιμοῦ τριετοῦς, πολέμου
τριμηναίου· λοιμοῦ τριημέρου· ἑλέσθαι ἣν ἂν βούλοιτο:

Τίνα ἐστὶν ἃ προεφήτευσε Νάθαν. πς.

Βουληθέντι τῷ Δαβὶδ τὸν ναὸν οἰκοδομεῖν, μὴ βούλεσθαι
τὸν θεὸν δι' αὐτοῦ, τὴν οἰκοδομὴν ἀπήγγειλε γίνεσθαι· τὸν
δὲ ἐξ αὐτοῦ γενησόμενον υἱὸν τὸν Σαλομῶν, οὔδεπω τεχ-
θέντα τοῦτον προεῖπε μέλλειν αὐτὸν προβαλέσθαι· καὶ συμ-
πλακέντι εἰς τὴν Βηρσαβεέ, καὶ τὴν Οὐρίαν πλημμελῆσαι ἤ-
λεγξε τὸν Δαβίδ· καὶ τὴν ἐπὶ τῇ πλημμελείᾳ παίδευσιν

ἐπιστᾶσαν αὐτῷ προεῖπε· καὶ τὴν ἐπὶ τῇ ταπεινοφροσύ-
νῃ αὐτοῦ τοῦ ἁμαρτήματος λύσιν, τὸν παρ' αὐτοῦ προφητευ-
θέντα τὴν Ἱερουσαλὴμ οἰκοδομεῖν τὸν υἱὸν αὐτοῦ τὸν Σαλομῶν-
τα, αὐτὸς εἰς τὴν βασιλείαν προηγάγετο. ὑπομνήσας τὸν
Δαβὶδ τῆς ὑποσχέσεως· καὶ τὴν ἐπαναστῆναι τῇ βασιλείᾳ πει-
ραθέντα τὴν Ἀδωνίαν σοφῶς καθαιρεθῆναι παρασκευ-
πζ. ασάμενος· Τίνα προεφήτευσεν Ἀχίας ὁ Σιλωνίτης.

Ἱεροβοὰμ προεῖπεν ὡς τῶν δέκα [redacted] τοῦ Ἰσραὴλ φυλῶν
βασιλεύσει· διαρρήξας γὰρ τὸ ἱμάτιον αὐτοῦ εἰς δώδεκα
μέρη πεποίηκε· καὶ ἐκέλευσεν αὐτῷ δέκα μέρη λαμ-
βάνειν ἐκ τούτων· προειπὼν αὐτῷ ὡς δέκα φυλῶν
τοῦ Ἰσραὴλ βασιλεύσει· Ἀνονίτῃ τῇ τοῦ Ἱεροβοὰμ
γυναικὶ πρὸς αὐτὸν μετ' ἐπικρύψεως ἡκούσῃ περὶ
παιδὸς ἀρρωστοῦντος ἐπερωτῶν εἰ ζήσεται· ταύτην μὲν
ἐξ ὀνόματος ἐκάλει· μὴ σημάνασαν ἑαυτήν· καί-
περ τυφλὸς διὰ τὸ γῆρας τυγχάνων· προεῖπε δὲ αὐτῇ
ὡς καὶ τὸν υἱὸν οὐ καταλείψεται ζῶντα· ὁ δὲ Ἱεροβοὰμ
ἀπὸ τῆς βασιλείας οἰκτρῶς καταστραφήσεται.

πη. Τίνα Σαμαίας προεφήτευσεν.

Ῥοβοὰμ τῷ τῆς Ἱερουσαλὴμ βασιλεῖ ἐν δεκαδύο μυ-
ριάσι στρατιωτῶν ἐπιόντι πολεμεῖν κατὰ τῶν δέκα τοῦ Ἰσ-
ραὴλ τῶν ἀποστασῶν αὐτοῦ φυλῶν κατὰ τὴν πορείαν περι-
τυχὼν ἀναστρέφειν ἐπὶ τὰ οἰκεῖα, καὶ μὴ συμφύλων
πόλεμον παρατάττειν· ἔλεγε καθαίρεσιν αὐτοῦ παν-
τελῆ· καὶ τοῦ στρατοῦ ἧτταν προφητεύων, εἰ πολεμήσου-
σι· προεῖπε καὶ τῷ Ῥοβοὰμ καὶ τῷ λαῷ ὡς ἐγκατα-
λείψαντα τὸν κύριον, ἐγκαταλειφθήσονται ὑπ' αὐτοῦ· καὶ
τῷ Ἱεροβοὰμ δὲ προεῖπεν ὡς τῶν δέκα τοῦ Ἰσραὴλ
κρατήσει σκήπτρων· τοῖς αὐτοῖς τοῦ Ἀχία σημείοις
τῶν τοῦ ἱματίου ῥηγμάτων χρησάμενος.

πθ. Τί προεφήτευσεν Ἰαδών.

Οὗτος ἐστὶν ὁ εἰς τὴν Βεθὴλ παραγενόμενος τοῦ Ἱεροβο-

ἃμ τὸ θυσιαστήριον ἐγκαινίζοντος· καὶ προειπὼν τὸν Ἰωσίαν βασιλεύσειν· ὡς κατακαίειν ἤμελλε τοὺς ἱερωμένους ἐν τῷ θυσιαστηρίῳ· σημεῖον παραυτίκα δοὺς τοῦ θυσιαστηρίου τὴν διάρρηξιν. τοῦτο προρρηθὲν γεγένηται·

Τί προεφήτευσε Βαασά. ς̂

Τῷ βασιλεῖ τοῦ Ἰσραὴλ Βαασᾶ, καὶ αὐτῷ λελεγμένον προεῖπεν, ὡς τεθνήξεται τὴν ταχίστην διὰ τὰς δυσσεβείας.

Τί προεφήτευσε Μιχαίας. ςα̂

Τῶν ψευδοπροφητῶν ἀπατώντων τὸν Ἀχαὰβ ὃς ἦν τοῦ Ἰσραὴλ βασιλεὺς ὡς πολεμήσας τὸν Σύρον βασιλέα τοῦ ἄδερ, ἀφαιρήσεται παρ' αὐτοῦ τὴν Γαλααδίτην χώραν. ἣν οἱ Σύροι πάλαι παρὰ τῶν Ἰσραηλιτῶν ἀφείλοντο· κληθεὶς καὶ αὐτὸς εἶπε· τί δέοι περὶ τοὺς πρὸς τοὺς Σύρους πολέμους πράττειν προεῖπεν, ὡς συμβαλὼν ἀναιρεθήσεται τοῦ θεοῦ, τῇ διαβόλου ἀπάτῃ ἐκδεδωκότος αὐτὸν διὰ τῶν ψευδοπροφητῶν, ὅπως διὰ τὰς δυσσεβείας ἀναιρεθήσεται.

Τίνα προεφήτευσεν Ἀζαρίας υἱὸς Σαδώκ· ςβ̂

Ὡς ὁ λαὸς ἐγκαταλείψει τὸν κύριον, καὶ ἐγκαταλειφθήσεται ἐπὶ πολλαῖς ἡμέραις ὑπὸ θεοῦ. καὶ πολλὰ διὰ τῆς καταλείψεως τιμωρηθεὶς, εἰς ὕστερον προσληφθήσεται· γνοὺς τὸν παιδευτὴν καὶ σωτῆρα, καὶ τῶν ἐπαγγελιῶν πληρωτήν.

Τίνα προεφήτευσεν Ἰησοῦ ὁ τοῦ Ἀνανῆ. ςγ̂

Ἰωσαφὰτ τῷ τοῦ Ἰούδα βασιλεῖ συμμαχοῦντι τῷ Ἀχαὰβ ἐν τῇ πρὸς τοὺς Σύρους περὶ τὴν Ῥεμμὼθ Γαλαὰδ μάχῃ. ἐκφυγόντι ἐκ τῆς ἅμα τῷ Ἀχαὰβ ἀναιρέσεως. ὑπαντήσας ἔφη κακῶς πεπραχέναι συμμαχήσαντι τῷ δυσσεβεῖ καὶ ὑπὸ θεοῦ μισουμένῳ φίλον γεγονότα. καὶ εἰ μὴ αὐτὸς εὐσεβὴς φανεὶς, τὰ εἴδωλα τοῦ Ἰούδα καθεῖλεν ὀργῆς ἂν ἐπειρᾶτο θεοῦ διὰ τὴν τοῦ Ἀχαὰβ σύμπραξιν.

ϙδ. Τίνα προεφήτευσεν Ὀζιὴλ ὁ προφήτης.

Τῷ Ἰωσαφὰτ πολεμοῦντι πρὸς Ἀμμανίτας καὶ Μωαβίτας καὶ τοὺς ἀπὸ τοῦ Ἠσαῦ ἐπελθόντος τῷ Ἰούδα, προεῖπεν, ὡς δι' εὐχῆς καὶ σαλπίγγων αὐτοὺς καθαιρήσει· καὶ οὕτως ἐγένετο.

ϙε. Τίνα προεφήτευσεν Ἐλιὰδ ὁ τοῦ Ὀβδία.

Τῷ Ἰωσαφὰτ φιλίαν ἀσπασαμένῳ πρὸς Ὀχοζίαν τὸν τοῦ Ἀχαὰβ καὶ τῶν πλοίων κοινωνὸν αὐτὸν ποιησαμένων τῶν εἰς Αἰθιοπίαν ἀποπλεόντων ἐπ' ἐμπορίᾳ προεῖπεν ὡς καὶ αἰτίαις ναυαγήσουσι· καὶ αὐτὸς οὐκ ἀρεστὸς θεῷ γενόμενος, διὰ τοῦτο τεθνήξεται.

ϙϛ. Τίνα προεφήτευσεν Ὀλδὰ ἡ τοῦ Σελλὴμ γυνή.

Ἰωσίᾳ τῷ βασιλεῖ εὐσεβεῖ γενομένῳ, καὶ τὸν ναὸν ἐρειπωθέντα ἀνανεουμένῳ· καὶ διαρρήξαντι τὰ ἱμάτια αὐτοῦ ἐπὶ τῇ ἀναγνώσει τοῦ εὑρεθέντος βιβλίου Μωϋσέως, ἐν ἐπιλησμονῇ τῶν θείων νόμων τοῦ λαοῦ γενομένου ἐπέστειλεν· ὡς ὁ λαὸς μὲν εἰς αἰχμαλωσίαν ἐκδοθήσεται διὰ τὴν ἀποραθύμησιν τῶν ἀπὸ θεοῦ· αὐτὸς δὲ πρὸ τῶν κακῶν ἐπαγωγῆς τεθνήξεται διὰ τὴν φιλόθεον αὐτοῦ γνώμην· ἵνα μὴ ἴδῃ τὰ ἐπιόντα κακά.

ϙζ. Τίνα ἐστὶν ἃ Ζαχαρίας ὁ ἀρχιερεὺς προεφήτευσεν.

Ἐπὶ τῇ γεννήσει Ἰωάννου τοῦ βαπτιστοῦ πεπληρῶσθαι τὰς τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ ἐλέους ἐπαγγελίας τὸν θεὸν ἀνυμνῶν· καὶ ἐπὶ τούτοις τετάχθαι τὸν Ἰωάννην πρόδρομον τοῦ ὑψίστου θεοῦ γενόμενον ~~ἑτοιμάσαι σωτήριον~~ ἐφ' ὅτε τὴν ὁδὸν αὐτοῦ εἰς κόσμον ἐρχομένου ἑτοιμάσαι σωτήριον οὖσαν τοῦ λαοῦ καὶ ἐπιλάμψειν τοῖς ἐν σκότει καθημένοις καὶ σκιᾷ θανάτου· καθὼς διὰ τῶν ἁγίων αὐτοῦ προφητῶν τῶν ἀπ' αἰῶνος προκηρυττόντων τὴν παρουσίαν αὐτοῦ λελάληκεν.

ϙη. Τίνα ἐστὶν ἃ Συμεὼν προεφήτευσεν.

Οὗτος θεασάμενος ὃν ὁ Ζαχαρίας θεὸν ὕψιστον προεκήρυξεν, ἐπιλάμψειν τοῖς ἐν σκότει καθημένοις· ὑπὸ τῆς μητρὸς Μαρίας εἰς τὸ ἱερὸν τεσσαρακονθήμερον βρέφος

ἔτι ὄντος ἀναφερόμενον ὑπὸ τοῦ ἁγίου πνεύματος ἀχθεὶς,
δεξάμενος τὸ παιδίον ἐβόα· νῦν ἀπολύεις τὸν δοῦλον σου δέ-
σποτα κατὰ τὸ ῥῆμα σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί
μου τὸ σωτήριόν σου· ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων
τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσ-
ραήλ· προεφήτευσε καὶ τῆς μαρίας ἐπὶ τῷ σαυρῷ σκανδαλισμόν. ςαυρῷ

Τί προεφήτευσεν Ἐλισάβετ. ϛθ.

Θεασαμένη τὴν παρθένον μαρίαν πρὸς αὐτὴν ἐληλυθυῖαν,
εὐλογημένην εἶπεν εἶναι ἐν γυναιξὶ. καὶ εὐλογημένον τὸν
καρπὸν τῆς κοιλίας αὐτῆς· καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ
μήτηρ τοῦ κυρίου μου πρός με· ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ
τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτα μου, ἐσκίρτησεν ἐν ἀγαλλιά-
σει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου· ἐφ' οἷς καὶ τοὺς πιστεύοντας
τοῖς οὕτω λελαλημένοις ἐκφανησομένοις, μακαρίους
ἀπέφηνεν.

Τίνα ἐστὶ τὰ διὰ τῆς παρθένου Μαρίας προφητευθέντα. ρ.

Μεγαλύνει καὶ αὐτὴ τὸν θεὸν ἐπὶ τῷ εἰς αὐτὴν ἐκφαι-
νομένῳ μυστηρίῳ τοῦ θείου τόκου ἀγάλλεται τῷ ἐν πνεύ-
ματι λέγουσα· μακαρίζεσθαι αὐτὴν ἐν πάσαις ταῖς
γενεαῖς, ἀπὸ τοῦ νῦν μεγίστου πράγματος ὑπὸ τοῦ θεοῦ
ἐπ' αὐτῇ ἐκφαινομένου· [καὶ τίνα ἐστὶν ἃ Ἰωάννης ὁ
βαπτιστὴς, ὅτι ὀπίσω αὐτοῦ τοῦτ' ἔστιν ὁ μετ' αὐτὸν γεν-
νηθεὶς πρὸ αὐτοῦ ὑπῆρχεν· ὅτι ἄνωθέν ἐστιν ἐξ οὐρανοῦ Χρι-
στός· ὅτι τοὺς δικαίους ἀπὸ τῶν ἀδίκων Χριστὸς διακρίνει·

Τίς ἄκων προεφήτευσεν ἐν τῷ εὐαγγελίῳ. ρα.

Καϊάφας ὁ ἀρχιερεὺς τὸ σωτήριον Χριστοῦ πάθος προαγο-
ρεύων πρὸς τοὺς ἰουδαίους φησίν· ὑμεῖς οὐκ οἴδατε οὐδὲν
οὐδὲ διαλογίζεσθε· ὅτι συμφέρει ὑμῖν ἵνα εἷς ἄνθρωπος
ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.
ἐφ' οἷς ἐπήγαγεν ὁ εὐαγγελιστής· τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ
εἶπεν· ἀλλ' ἀρχιερεὺς ὤν, προεφήτευσεν· ὅτι ἤμελλεν
Ἰησοῦς ἀποθανὼν ὑπὲρ τοῦ ἔθνους ἀποθνήσκειν· καὶ οὐχ ὑπὲρ
τοῦ ἔθνους μόνον· ἀλλ' ἵνα καὶ τὰ ἐσκορπισμένα τοῦ θεοῦ
πρόβατα συναγάγῃ εἰς ἕν. [ἐν δὲ τῇ παλαιᾷ ἄκοντες προ-
φητεύουσι, βαλαὰμ ὁ μάντης· καὶ οἱ ἀποσταλέντες ὑπὸ

τοῦ σαοὺλ ἐπὶ τὸν δαβίδ. καὶ αὐτὸς ὁ σαοὺλ ἐπελθὼν αὐτῷ.

ρβ. ΒΙΒΛΟΣ Ε

Τίνες εἰσὶν οἱ τοῦ δαβὶδ δυνατοί.

Ἰεσβοὸς διεκόσμει τὴν διασκευὴν αὐτοῦ. εἶχον ὑπ' αὐτὸν ἐννακοσίους. ἀδινὼν, ὃς τῶν τραυμάτων ἐπεμελεῖτο. ἐλεάζαρ υἱὸς ἀδελφοῦ τοῦ δαβίδ. σωσιὼς μόνος τοῖς πολεμίοις ἀντέστατο κελεύων τοῖς ὑπ' αὐτὸν συλεύειν τοὺς πίπτοντας. σαμαᾶ, ὃς τῶν πολεμίων διωκόντων τὸν τοῦ λαοῦ στρατὸν, μόνος ἀπέστρεψε τοὺς διώκοντας. ἀβεσσαὰ, ἑξακοσίοις ἐν πολέμῳ μόνος ἀντέστατο. βαναίας ἐλιαβ υἱὸς τοῦ ἀδελφοῦ δαβίδ, ὃς καὶ τοὺς δύο στρατηγοὺς ἀρείλε. καὶ λέοντας ἀπέκτεινε. καὶ τὸν αἰγύπτιον ἄνδρα δυνατὸν ὄντα, ὤλεσεν. ἀσαὴλος, τριάκοντα ἐφεστήκει ἄρχουσιν. ἐλεηνὰν, ὃς ἦν καὶ αὐτὸς υἱὸς ἀδελφοῦ τοῦ δαβίδ. σεμαὰν ὁ μωδαῖος. ἀλλῆς, ὁ τοῦ κελθή. ἔλλας, ὁ τοῦ φελλαθί. ἱεράς υἱὸς ἐσκὰθ ὁ θεκοίτης. ἀνεζὰρ ὁ ἀνωθίτης. ἐλαὼν ὁ λωίτης. νοερίων ὁ φατίτης. ἀλλοὺς υἱὸς φαφά. ἐναὺ, ὁ νεφθαλίτης. ἐρὶ, υἱὸς ἐρβαέχ. σαβεὲθ ἀδδαὴ ὁ ἀπὸ γαασνή. ἀβιελβὼν ἀπὸ τοῦ πεδιάδος. ἰασβιὴλ ἀπὸ σαραάθ. βατθί. ἰωὰβ ἀρσαμίτης. ἐλιὰς ὁ σαλαβωνίτης. ἰωνάθαν υἱὸς ἀσάν. σωμνὰν ὁ ἀρρωδίτης. ἐλιὰν ὁ ἀραθείτης. ἀλιφαλὲτ ἀλιὰφ υἱὸς ἀχιτόφελ. ἀσαραὴ ὁ καρμήλιος. φαραὶς ὁ ἀρχίτης. γαὰλ υἱὸς νάθαν. σαβαβωνὰν ὁ γαδδίτης. ἐλιὲφ ὁ ἀμμαρίτης. γελωραὶ ὁ βηρωθαῖος. ἰαδδάδ. θηρεή. γηράς. ἐθέρ.

^ἀδδαὶ ἐκ ναχὰλ.

ργ.

Τίνες οἱ τοῦ Σαλομῶντος ἄρχοντες.

Βαναίας στρατηγὸς ἀντὶ τοῦ ἰωάβ. σαδὼκ καὶ ὁ υἱὸς αὐτοῦ ἀζαρίας ἱερεῖς. ζαμβοὺχ ἱερεὺς ἕτερος τοῦ σαλομῶν. ἀλιαρὲφ, καὶ ἀχιὰβ υἱοὶ σισά. ἰωσαφὰτ υἱὸς ἀχιλλίδ. ἀδωνιρὰν υἱὸς ἀβδωθὼ ἐπὶ τῶν φόρων. καὶ οἱ κατὰ χώραν τὰ δέοντα χορηγοῦντες. βενὲρ ἐν ὄρει ἐφραίμ. υἱὸς κακὼν ἐμχακμες υἱὸς ἐσδή. ἐρραβὼθ, υἱὸς ἀβινὰς δεύτερος

ἐν χώρα ταασσή· βαναὰν υἱὸς ἀλιοὺθ, ἐν θααγάς· μεγε-
δὼ υἱὸς γάβερ· ἐρραμὼθ υἱὸς ἀδδή· ἐμμαενὼ· ἀχει-
μαάς, ἐν νεφθαλεὶμ βασιλείας, υἱὸς χυσή· ἐν ἀσὴρ καὶ
ἐν βααλὼθ· ἰωσαφὰτ υἱὸς φαρρου· ἐν ἰσάχαρ σεμεῆ
υἱὸς ἠλᾶ· ἐν βενιαμὶν, γάβερ υἱὸς ἀδαή· ἐν γαλαὰδ,
καὶ ἐν γῇ γηιῶν βασιλέως ἀμορραίων· καὶ ὢγ βασιλέως
βασάν· καὶ νασὴφ ἐν γῇ ἰούδα παρέστηκεν, ὑποδεχόμε-
νος τὰ παρ' ἑκάστω τεταγμένα

Τίνα ἦν τὰ καθ' ἑκάστην ἡμέραν ἐξοδιαζόμενα τοῦ σαλομῶν· ρδ.

Σεμιδάλεως κόροι λ̄· ἀλεύρου κόροι ξ̄· μόσχοι ἐκ-
λεκτοὶ ῑ· βόες νομάδες κ̄· πρόβατα ρ̄· ἐκτὸς ἐλάφων
καὶ ζορκάδων καὶ ὀρνίθων· ἦσαν δὲ αὐτῷ τετρακισμύριοι
τοκάδες ἵππων εἰς ἅρματα· καὶ δώδεκα χιλιάδες ἱππέων.

Περὶ τοῦ ναοῦ τοῦ ἱερουσαλὴμ οὗ ᾠκοδόμησε σαλομών. ρε.

Ἤρξατο τῆς οἰκοδομῆς ~~ἐν ἔτει ἀπὸ τῆς οἰκοδομῆς~~ ἐν ἔτει
ἀπὸ τῆς ἐξ αἰγύπτου ἐξόδου τοῦ λαοῦ πεντηκοστῷ καὶ ἑξακο-
σιοστῷ ἐν τῷ τετάρτῳ μηνί· ὅστις ἐστὶ κατὰ μακεδόνας
πάνεμος· δευτέρα τοῦ μηνὸς λίθους μὲν ἑτοιμαζόμενος.
καὶ ξύλα ἀπὸ πρώτου ἔτους τῆς βασιλείας αὐτοῦ ἐπὶ ἔτη
τρία· ἀρξάμενος δὲ τῆς οἰκοδομῆς ἀπὸ τετάρτου ἔτους τῆς
βασιλείας αὐτοῦ· εἰς δὲ τὴν ἐργασίαν, παρέστησεν ἐρ-
γάτας ἑπτακισμυρίους· ἐπιστάτας τρισχιλίους ἑξακοσίους·
ἀρχιτέκτονας δὲ τῆς ὅλης ἐργασίας, ἀπὸ τύρου λαμβάνει
τὸν χηρὰμ υἱὸν γυναικὸς χήρας, ἀπὸ φυλῆς νεφθαλῆ.
πατρὸς τυρίου· συνηργάτο δὲ αὐτῷ καὶ ὁ τύρου βασιλεὺς
εἰς τὴν ναοῦ οἰκοδομὴν ὁ χιρὰμ ξύλα κέδρινα καὶ πεύκι-
να διδοὺς ἀπὸ τοῦ λιβάνου· ἐχορήγει δὲ ὁ σαλομῶν αὐ-
τῷ κατ' ἐνιαυτὸν εἰς ἀναλώματα τῶν κοπτόντων τὰ ξύλα,
καὶ καταγόντων αὐτὰ ἕως θαλάσσης· σίτου κόρους β̄ ϋ·
ἐλαίου βάτους β̄ ϋ· καὶ ἀπέστελλεν ἐκ τοῦ λαοῦ τοῦ ἰσραηλι-
τικοῦ εἰς τὸν λίβανον μυρίους ἐργάτας κατὰ μῆνα ἀλλασσομένους·
καὶ εἶχον ἔξαρχον ὄντα τὸν ἀδωνιράμ.

ρϛ. Ὁποῖος ἦν ὁ ναὸς ὃν Σαλομὼν ᾠκοδόμησεν.

Μέσος οἶκος ἦν στοαῖς σταδιαίοις κατὰ τὰς τέσσαρας πλευρὰς περιβεβλημένος ἁγίασμα καλούμενος. ἔχων μῆκος πήχεις ξ. πλάτος πήχεις κ. ὕψος πήχεις λ. πρὸς δὲ ἀνατολὰς ἀπέβλεπεν. εἶχε δὲ καὶ προναΐον ἰσόπλατον τῷ ναῷ πήχεις ἔχων κ. καὶ ὕψος ἴσον τῷ ναῷ. τριάκοντα γὰρ πηχῶν ἦν καὶ τοῦτο. εἰσάγων ἐπὶ πήχεις κ. περιοίκιστο δὲ οἴκοις βραχέσι λ. πενταπήχεσιν ἰσοπλεύροις ἐπὶ τρία στέγη εἰς κ πήχεις τῶν τριῶν στεγῶν τούτων ἡρμένων. τοῖς δὲ οἰκίσκοις τούτοις τοῖς λ, ἄνοδοι κεκρυμμέναι πεποίηντο διὰ μικρῶν θυρῶν ἐπὶ τὰ στέγη ἀνάγουσαι. οἱ δὲ τῶν οἰκίσκων τούτων δέκα πήχεις ὑπέρτεροι, ἀνειμένην παρεῖχον τοῦ ἁγιάσματος οἴκῳ τὴν τῶν φώτων βολήν. ἀπὸ δὲ τῶν ξ πηχῶν τοῦ ναοῦ οἱ ἐσώτατοι τῷ ἁγίῳ τῶν ἁγίων διῄρηντο. οἱ δὲ ἄλλοι μ τῷ ἐξωτάτῳ ἁγίῳ κεκλήρωντο. αἱ δὲ θύραι τοῦ ναοῦ πρὸς τὸ εὖρος κ πηχῶν γεγένηντο, ἔσωθεν καὶ ἔξωθεν δι' ὅλου κεχρυσωμέναι. καταπέτασμα δὲ ἦν τὸ ἐπ' αὐταῖς καθηπλωμένον ἐκ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου ὑφασμένον. καὶ ἦν ἅπας ὁ ναὸς καὶ τὰ ἐν αὐτῷ πάντα ἔσωθεν καὶ ἔξωθεν δι' ὅλου χρυσῷ καταπεπλασμένα. καὶ τὸ ἔδαφος δὲ χρυσῷ πάχει κατέστρωτο. οἵ τε τοῖχοι φοίνιξι καὶ χερουβὶμ ἐγγεγλυμμένοι καὶ τετορνευμένοι δι' ὅλου διέκειντο. οὕτω τοίνυν ὁ ναὸς κατεσκεύαστο. περιέκειτο δὲ κύκλῳ τοῦ ναοῦ γείσιον εἰς τρεῖς πήχεις ἀνατείνων τὸ ὕψος. εἶργον δὲ τοὺς πολλοὺς τῆς εἰς τὸ ἱερὸν εἰσόδου. μόνοις δὲ ἀνειμένον τοῖς ἱερεῦσι.

ρζ. Τίνα ἦν τὰ ἐν τῷ ἁγιάσματι ἀνακείμενα ἀφιερώματα.

Εἰς μὲν τὸν ἅγιον οἶκον τὸν εἰκοσάπηχυν καὶ ἰσόπλευρον

ἡ κιβωτὸς, ἣν μωϋσῆς ἐποιήσατο· ἔνδον ἀνατε-
θεῖσα ὑπὸ τῶν Χερουβὶμ σκεπομένη· οἵτινες ἦσαν
δύο ἀνὰ δύο πτέρυγας ἔχουσαι πενταπήχεις ἐξ ἑ-
κατέρου τῆς κιβωτοῦ παρεστῶσαι· καὶ μία μὲν πτέρυξ
πρὸς τὸν τοῖχον ἐξέτατο· μία δὲ πρὸς τὴν κιβωτόν· καὶ
συναπτόμεναι δὲ ἑαυταῖς αἱ δύο πτέρυγες ἐσκέ-
πον τὴν κιβωτὸν πρὸς ἀνατολὰς βλέπουσαν· καὶ ἡ
στεφάνη δὲ ἔκειτο τῇ κιβωτῷ εἰς ἣν μωϋσῆς ἔμφα-
σιν τῆς τοῦ θεοῦ σημασίας ἐνέγραψε· τὸ τετράγραμ-
μον δὲ ἦν τοῦτο ὄνομα ἄρρητον. οὐκ ἀλλοιουμένη, ἀλ-
λάττε εἰς ἀεὶ διαμένουσα· ἐπέκειντο δὲ αἱ δίπτυ-
χοι πλάκες ἐν τῇ κιβωτίῳ. ἐν αἷς ἡ θεόγραπτος
ἐνεγέγραπτο δεκάλογος· ἃς μωϋσῆς ἐδέξατο
παρὰ τοῦ θεοῦ ἐν τῷ σινᾶ ὄρει τὸν λαὸν νομοθετῶν.
ἐν δὲ τῷ ἁγίῳ τῶν ἁγίων τούτῳ οἴκῳ, μόνος ὁ ἀρχι-
ερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσῄει· ἐν δὲ τῷ ἁγίῳ τῷ
τεσσαρακονταπήχει τῷ πρὸ τούτου στῦλοι χαλκέοι
παρειστήκεισαν ὕψος πηχέων ιη· περὶ μέτρου πηχέ-
ων ιβ. πάχος κεχωνευμένων δακτύλων δ· ἐφ' ἑ-
κάστῃ δὲ κεφαλῇ τῶν κιόνων κρίνον ἐπέκειτο, ἐπὶ
πέντε πήχεις ἐγγεγραμμένον· καὶ τούτῳ περιέκειτο
δίκτυον χάλκεον· ἀφ' οὗ καὶ ῥοαὶ διακόσιαι ἀπήρχον-
το· ἐκαλεῖτο δὲ ὁ μὲν ἐκ δεξιῶν κίων, ἵδρυσις·
ὁ δὲ ἐξ εὐωνύμων δύναμις· κατὰ δὲ τὸ δεξιὸν μέ-
ρος εἰσιόντων λουτὴρ ἦν ἱδρυμένος χωνευτὸς χάλ-
κεος· θάλασσα διὰ τὸ μέγεθος καλούμενος· διά-
μετροι πηχῶν δέκα· ἐν δὲ κύκλῳ, τριάκοντα πή-
χεσι· καὶ ἐνὶ μετρούμενος πάχει παλαιστιαίῳ πεπα-
χυμένος· βάθους δεχόμενος ὕδατος τρισχιλίους· εἰς
τοῦτον οἱ ἱερεῖς εἰσιόντες λειτουργεῖν, τὰς χεῖρας
ἀπενίπτοντο, καὶ τοὺς πόδας ἀπερραίνοντο· ἐπέκειτο
δὲ ὁ λουτὴρ ἐπὶ σπείρας πηχυαίας, ἐννέα πήχεις

διάμετρον ἐχούσης· καὶ μόσχοι ιβ τὰ ὀπίσω πρὸς
τὴν πεῖραν ἔχοντες· τὰ δὲ πρόσωπα πρὸς τὰ τέσ-
σαρα κλίματα βλέποντες· τριῶν μόσχων κατὰ πλευ-
ρὰν ἱδρυμένων· οἱ τὸ τοῦ λουτῆρος ὑπέκειντο
κύκλῳ· καὶ ἄλλοι δέκα λουτῆρες· πέντε μὲν ἐκ
δεξιῶν, πέντε δὲ ἐξ εὐωνύμων. Καθίδρυντο δὲ
βάσεις χαλκᾶς τετραγώνους ὑπέχοντες μῆκος
πήχεις ε· πλάτος πήχεις δ· ὕψος πήχεις ἕξ.
ἑκάστη δὲ βάσεις δ· κιονίσκοι κατὰ γωνίαν ἑστῶ-
τες προσέκειντο· ἐφ' ὧν οἱ λουτῆρες ἐπέκειντο
ὕψους πήχεις δ χωροῦντες ἀνὰ χόας μ· διεστήκα-
σι δὲ ἀπ' ἀλλήλων τέτρασι πήχεσι· καὶ χεῖρες
δὲ ἦσαν χαλκαῖ πρὸς τὸν ὑποκείμενον κύκλον
ἐρηρεισμέναι ὕψους πηχῶν ι· ὧν οἱ ὦμοι τοὺς
λουτῆρας ὑπέφερον· λέοντες δὲ καὶ μόσχοι καὶ ἀε-
τοὶ καὶ φοίνικες περὶ τοὺς κιονίσκους κατὰ τὴν τῶν τεσ-
σάρων πηχῶν διάστασιν εἱστήκεισαν. ταῦτα δὲ πάν-
τα ἐπὶ τεσσάρων τροχῶν ἐωρούμενα ἐπέκειντο.
οἱ δὲ λουτῆρες οὗτοι εἰς τὸ καθαίρειν τὰ ἐντὸς τῶν
ὁλοκαυτουμένων ζώων, καὶ τοὺς πόδας ἀπονίπτειν
προύκειντο· ἐν τούτῳ δὲ τῷ οἴκῳ καὶ θυσιαστήριον
ἵδρυτο χάλκεον, μῆκος πηχῶν κ· ὕψος πηχῶν
ι· πρὸς τὰς ὁλοκαυτώσεις· καὶ τὰ σκεύη δὲ αὐ-
τοῦ ἦν χάλκεα· ποδιστῆρες καὶ ἀναληπτῆρες· καὶ τρά-
πεζα δὲ χρυσῆ· ἐφ' ἧς οἱ τῆς προθέσεως ἄρτοι δώ-
δεκα ἐπέκειντο· καὶ λυχνία ἡ ἔχουσα ἑπτὰ λύχνους
κατὰ τὴν μωϋσέως διάταξιν ἀπαστράπτουσα χρυσῆ
καὶ αὕτη· καὶ βωμὸς χρύσεος μέσος τούτων πάντων
ἵδρυτο· καὶ ἄλλαι δὲ τράπεζαι χρυσαῖ καὶ λυχνίαι
ποικίλαι ποικίλως εἰργασμέναι· μικραὶ καὶ διά-

φοροι ἐν αἷς ἐπετίθετο τὰ ἱερὰ σκεύη· φιάλαι
καὶ σπόνδια· ταῦτα πάντα εἶχεν ὁ τῶν ^ πηχῶν ^ [illegible]
οἶκος ἄλλος πρὸ τοῦ καταπετάσματος τοῦ ἀδύτου
τοῦ ἁγίου τῶν ἁγίων, ἐν ᾧ ἡ κιβωτὸς ἀνέκειτο.

ΤΊΝΑ ἮΝ ΤᾺ ΚΑΤΑΣΚΕΥΑΣΘΈΝΤΑ ΚΑῚ ἈΝΑΤΕΘΈΝΤΑ ὙΠῸ ΤΟῦ ΣΑΛΟΜῶΝΟΣ ΕἸΣ ἹΕΡΟΥΡΓΊΑΝ ΤᾺ ΚΕΙΜΉΛΙΑ. ρη

Οἰνοχόαι ὀκτακισμύριοι χρυσαῖ· ἀργυραῖ δὲ διπλασίονες· φιαλῶν
μυριάδων δέκα χρυσαῖ· ἀργυραῖ δὲ διπλασίονες· πίνακες
εἰς τὸ προσφέρειν ἐν αὐτοῖς σεμίδαλιν πεφυραμένην
χρυσοῖ ὀκτακισμύριοι· ἀργυροῖ δὲ διπλασίονες· μέτρα δὲ
ἳν καὶ ἀσσαρὼν ὡς Μωυσῆς ἐξέδωκε· χρυσᾶ μὲν μύρια
ἀργυρᾶ δὲ διπλασίονα· θυμιατήρια χρυσᾶ δισμύρια· καὶ
ἄλλα πύρια ἐν οἷς τὸ πῦρ ἀπὸ τοῦ μεγάλου βωμοῦ
πεντακισμύρια.

ΤΊΝΑ ἮΝ ΤᾺ ἹΕΡΕῦΣΙ ΚΑῚ ΛΕΥΊΤΑΙΣ ΕἸΣ ΤᾺΣ ΛΕΙΤΟΥΡΓΊΑΣ ΚΑΤΑΣΚΕΥΑΣΘΈΝΤΑ ὙΠῸ ΣΑΛΟΜῶΝΟΣ ἈΙΣΘΉΜΑΤΑ. ρθ

Στολαὶ ἱεραὶ σὺν ποδήρεσι καὶ ἐπωμίσι καὶ λογίῳ καὶ
λίθοις ἀρχιερεῦσι χίλιαι· ζῶναι ἐκ βύσσου καὶ πορφύρας
μυριάδες ι̅· σαλπίγγων μυριάδες κ̅· καὶ λευίταις
ἐκ βύσσου στολαὶ μυριάδες κ̅· καὶ τὰ ὄργανα τὰ
μουσικά. νάβλαι καὶ κιννύραι πρὸς τὴν ὑμνῳδίαν
ἐξευρημένα, ~~[illegible]~~ ἐξ ἠλέκτρου, κατασκευασμένα
τετρακισμύρια.

μεγαρική· πυθαγόρειος· ἐμπεδόκλειος· ἡρακλείτειος·
ἐλεατική· δημοκρίτειος· πρωταγόρειος· πυρρώνεια·
ἀκαδημαϊκή· περιπατητική· στοϊκή· ἐπικούρειος·
ταύτας τὰς εἴκοσι αἱρέσεις ἡρακλείδης ὁ πυθαγορικὸς
διεῖλεν. ἐν τῷ περὶ τῆς ἐν φιλοσόφοις αἱρέσεως
πραγματείας αὐτοῦ βιβλίω·

Ὅσαι εἰσὶ μαντεῖαι παρ' ἕλλησιν. ρμγ

Ἀστρονομική· γενεθλιακή· ὀνειροσκοπική· οἰωνιστική·
συμβολική· ἀθερική· ἡ διὰ κλήρων· ἡ διὰ ἀστραγάλων·
ἡ διὰ πεμπτύρων· ἡ διὰ λεκανῶν. θυτική ζώων,
ὠοσκοπική· ἡ διὰ τεράτων· ἡ καὶ ἐνθυσίασιν ἢ
κατὰ κρίσιν τινὸς ἐπιπνοίας· ἡ διὰ κληδόνων· ἡ
διὰ τινὸς ἐπιπνοίας· ἡ διὰ φήμης· ἡ διὰ πανικοῦ κινήματος·
ἡ διὰ μορφοσκοπίας· ἡ διὰ χειροσκοπίας· ἡ διὰ
[redacted] πιτακίων ὑπὸ φαρυγίδα πιπτόντων· ἡ διὰ
κοσκίνου· ἡ διὰ λεκάνης μαγικῆς· ἡ ἐν φιάλη·
ἡ διὰ κλήσεως ἀπολοικῆς· ἡ διὰ ψυχοπομπείας· ἡ
διὰ τῶν ζωγραφουμένων ἀγαλμάτων· ἡ δι' ἄστρων·
ἡ διὰ συμβόλων· ἡ διὰ κυμβάλων καὶ παντὸς
μετρικοῦ· ἡ διὰ σαββατίων μορίζοντες· ἄλλοι κατὰ
τὸ φανταστικὸν θυάζειν· ἄλλοι σκότος συνεργὸν
λαμβάνοντες· ἄλλοι κατεπάσεις· οἱ δὲ ἐπῳδὰς
καὶ συστάσεις· ἄλλοι εἰς ὕδωρ φαντάζονται· οἱ δὲ
ἐν τοίχω· οἱ δὲ ἐν ὑπαίθρω ἀέρι· ἄλλοι ἐν ἡλίω· καὶ
ἐν τοῖς ἄλλοις τοῖς κατ' οὐρανὸν ἄστροις· οἱ δὲ διὰ σπλάγχνων·
οἱ δὲ δι' ὀρνίθων· οἱ δὲ δι' ἀλφίτων· ἄλλη διὰ τῆς
φυσικῆς παρατηρήσεως φθέγξεως· ἄλλη ἐπὶ ζώων
παραλλαγαῖς, ἢ φυτῶν· οἱ δὲ δι' ἀριθμῶν· οἱ δὲ
διὰ τῆς φυσιογνωμονικῆς· ἔστι δὲ [redacted] καὶ ἐπιβολὴ ἐνθυσιαστική, καὶ ἐπιβολὴ θεοφορίας
[redacted] χρηστήρια δὲ
διαβόητα παρ' αὐτοῖς ἐστι τὰ ἐν τοῖς ναοῖς βαιτύλια
διὰ λίθων ἐν τοῖς στοιχείοις προσρασσόντων ἐν αἰγύπτω·
τὸ βουνὶ ὀργανικόν τι τρίγωνον ἐναρμόνιον, ὧ χρῶνται
οἱ ἱεροψάλται ἐν τοῖς κώμοις πληκτριζόμενοι
ἐξ ἀίκου οἱ τῆς ἑστίας παρθένοι ὑδρομαντεῦσαι λέγουσι
καὶ αὐται τὸ μέλλον ἀπαγγέλλειν περιεκηρύσσονται·
οἱ τε παρὰ τῷ διονύσω διὰ κορυβαντείων κορυβαντιζόμενοι·

Ἐν δὲ Κολοφωνίῳ ἱερεὺς τοῦ Κλαρίου ὕδωρ πίνων
ἔλεγεν ἑκάστῳ περὶ οὗ καὶ ἀ[illegible]ικτο· ἐν δὲ Δελ-
φοῖς δὲ θεσπίζουσιν αἱ γυναῖκες ἐν τοῖς στομίοις
τοῦ ὕδατος παρακαθήμεναι· καὶ ἐν Βραγχίδαις δὲ
πάλιν ἐξ ὑδάτων ἀλμιζόμεναι χρησμολογοῦσιν
ἐπὶ χαρακτῆρσιν δὲ στάντες πληροῦνται τῶν ἀ-
ποκρίσεων ἐν τισι ναοῖς τοῦ Ἀπόλλωνος· ἡ
δὲ Πυθεία ἐπὶ τοῦ τρίποδος ἀσχημόνως ἐπικα-
θημένη διὰ τῶν γυναικείων πόρων τὰς μαν-
τικὰς [illegible] ἀποκρίσεις ὑποδέχεται· πολλὰ δὲ
ἐν πλείοσι ναοῖς καὶ διὰ καλπ[illegible]ιδῶν ψή-
φων ἀποκρινόντων συνέστη μαντεία τοῦ νεωκό-
ρου τὴν ψῆφον ἐφορ[illegible]ῶντος· καὶ ἀπὸ βιβλί-
ου τὸν χρησμὸν ἀναγινώσκοντος· καὶ καθὼς
Πορφύριος ἐν τῇ πρὸς Ἀνέβωντα φησὶν ἐπιστολῇ
πολλοῖς γὰρ ὁ γύρτης καὶ τοῖς κεχηνόσι τῆς
προσδοκίας ὑμῶν ἐπιθέμενος.

ρμδ Διατί οἱ Ἰουδαῖοι τὴν δευτέραν τῶν σαββά-
των καὶ τὴν πέμπτην νηστεύουσι·

Δευτέρα σαββάτου ἐτύγχανεν εἶναι ὅτε ὁ ναὸς
ὑπὸ τοῦ Ναβουχοδονόσορ τὸ πρότερον ὅτε ἐνεπρήσθη
πέμπτη δὲ ὅτε ὑπὸ Τίτου τὸ δεύτερον ἔπαθε·
πενθοῦσι γὰρ ἐπὶ τῇ ἐμπρήσει τοῦ ναοῦ κατὰ ταύ-
τας τὰς δύο· κατὰ πᾶν σάββατον ἡμέρας· καὶ διὰ τοῦτο
νηστεύουσι·

ρμε Διατί Χριστιανοὶ τὴν τετράδα καὶ παρα-
σκευὴν νηστεύουσι·

Τετράδι τοῦ σαββάτου Ἰούδας ὁ προδότης τῇ
τοῦ διαβόλου τῆς προδοσίας ἐνεργείᾳ ὑπεδέξατο
τοὺς λ χρυσοῦς παρὰ Καϊάφα καὶ Ἄννα κομι-
σάμενος· τῇ δὲ παρασκευῇ τὴν τῆς προδοσίας
πρᾶξιν ἐπετέλεσεν ἐν ᾗ ἡμέρᾳ καὶ τὸ σωτη-
ριώδες καὶ κοσμικὸν πάθος ὁ Κύριος ὑπέμεινε· κατὰ δὲ τὴν
τῶν δύο ἡμερῶν τούτων περίοδον, ἀλλοτριοῦνται
μὲν οἱ Χριστιανοὶ τὰς τοῦ διαβόλου πράξεως· οἰ-
κειοῦνται δὲ διὰ τῶν νηστειῶν, τῷ σωτηριοκοσμικῷ
πάθει Χριστοῦ.

ρμς Τίνα ἔθνη καὶ πόσα ἐκ τοῦ Ἀβραὰμ
πρῶτον τὸ ἐκ τῆς Ἄγαρ καὶ τοῦ Ἰσμαὴλ· Ἀγα-
ρηνοὶ καὶ οἱ Ἰσμαηλῖται εἰσίν, οἱ ψευδοσαρακη-
νοὶ καλούμενοι, ἑαυτοῖς ἐπιφημίζοντες

συνέστη·

οἱ ἀνόμοιοι κέκληνται· ξ Ἀεριανοί·
ἀέριος οὗτος γέγονε ποντικὸς τῆς ἀρειανῆς αἱρέ-
σεως ὤν, ἀντεδόξαζε δὲ αὐτοῖς καὶ ἐχωρίσθη ἐκ-
κλησίας διὰ ταῦτα· ἐπίσκοπον μηδὲν διαφέ-
ρειν πρεσβυτέρου λέγων· τετράδας καὶ παρα-
σκευὰς ἐπὶ προθεσμίας τῶν ἐν ἄλλαις ἡμέραις
νηστειῶν τινὰ σκηνὴν ὑπερεῖδε· ξα Μακεδο-
νιανοί· μακεδόνιος οὗτος ἐν κωνσταντινουπόλει γίνεται·
τὸ πνεῦμα τὸ ἅγιον ἀθετῶν, τῆς τοῦ θεοῦ πρὸς καὶ υἱοῦ
οὐσίας· διὸ καὶ πνευματομάχοι κέκληνται
οἱ τούτου κοινωνικοὶ αὐτοῦ· ξβ Ἀνθρωπομορφῖται·
οὗτοι εἰς τὴν ἐλευθεροπόλεως ἐναπεσφήνωσι χώραν·
ἐν ᾧ ἔσω σωματικὸν χαρακτῆρα
καὶ μορφὴν ἀνθρωπίνην τὸν θεὸν ἔχειν κατὰ τὴν Ζ#
ὕπαρξιν αὐτοῦ τὴν ἀΐδιον λογιζόμενοι· ὡς καὶ
ἰνδάλων οἱ τῶν γραφῶν ἀμύητοι νενοήκασιν.
Αὗται μὲν οὖν αἱ κατὰ τῆς ἁγίας ἐκκλησίας
ἐπαναστᾶσαι γεγόνασιν αἱρέσεις· τῆς τὸν
κύριον ἡμῶν ἰησοῦν χριστὸν τὸν δι' οὗ τὰ πάντα ἐγένετο·
καὶ γεννηθέντα ἐκ μαρίας τῆς παρθένου κατὰ
σάρκα· καὶ ἐπιδημήσαντα τῇ ἑαυτοῦ κτίσει·
αὐτὸν εἶναι τὸν πρὸ τῶν αἰώνων συνόντα τῷ
θεῷ καὶ πατρί· γεννηθέντα ἐκ τῆς οὐσίας τοῦ πατρός·
καὶ ὄντα ὁμοούσιον τῷ θεῷ πατρί. παρειλη-
φυίας καὶ παραδιδούσης σὺν τῷ ἁγίῳ πνεύματι.

Ποῖαι αἱρέσεις παρὰ ἰουδαίοις γεγόνασι· ρμ
α Φαρισαῖοι ἑρμηνευόμενοι κεχωρισμένοι ἢ
ἀφωρισμένοι· περὶ τὰ φυλακτήρια καὶ καθαρμοὺς
σωματικοὺς καὶ βαπτισμοὺς ξεστῶν καὶ πινάκων
ἠσχολημένοι. β Σαδδουκαῖοι ἑρμηνευόμενοι δίκαιοι,
νεκρῶν ἀνάστασιν ἀρνοῦνται· ἀγγέλους εἶναι οὐ λέγουσιν·
οὐδὲ πνεῦμα ἅγιον· οὐ πνεῦμα ἅγιον ἢ ὅλως ἄνωθεν·
μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον, οὐ κρίσιν
τῶν πεπραγμένων αὐτοῖς. γ Ἐσσηνοί· ἀκριβεῖς
περὶ τὰ νόμιμα· γάμων ἀπέχονται καὶ παιδοποιίας.

καὶ συναλλαγμάτων καὶ προσόδων τῆς ἀνοή-
του συντυχίας. δ. Ἔστι δὲ καὶ ἄλλο τάγμα
ἐσσηνῶν· τὰ μὲν νόμιμα ὁμοίως τοῖς ἄλλοις
ἀκριβοῦντες· γάμον δὲ καὶ παιδοποιΐαν οὐκ
ἀρνούμενοι· ἀλλὰ καὶ τῶν ἄλλων καταγινώ-
σκοντες· ὅτι τὴν τοῦ γένους διαδοχὴν ἀποτέμνου-
σιν. ε. Εἰσήχθη δὲ καὶ πέμπτη παρ' αὐτοῖς
ἰούδα τοῦ γαλιλαίου αἵρεσις, ὅπως μηδένα
κύριον ἢ δεσπότην καλεῖν ἀναπείθουσα· καὶ
τὴν ἀπογραφὴν ἐπὶ κυρίνου γεγενημένην κωλύουσα
καταδέξασθαι.

ρμα **Τίνες αἱρέσεις παρὰ σαμαρείταις γεγόνασιν**

Οἱ πρῶτοι σαμαρεῖται περσῶν ἄποικοι γεγόνασιν
εἰς τὴν τοῦ ἰηλ γῆν μετοικισθέντες ὑπὸ σαλμανασά-
ρου τοῦ βαβυλωνίων βασιλέως τὰ μωσέως νόμιμα
καὶ περιτομὴν ἐκ τῆς πεντατεύχου παρειληφότες·
ἐπιμένοντες δὲ καὶ τῷ σεβασμῷ τῶν πατρῴων
καὶ περσικῶν θεῶν· Γεγόνασι δὲ καὶ ἄλλαι τέσ-
σαρες αἱρέσεις παρ' αὐτοῖς· γορθηνῶν· σεβουαίων·
ἐσσηνῶν· δοσιθιανῶν· γορθηνοὶ μὲν γὰρ κατὰ
τὰς ἑορτὰς τοῖς ἄλλοις οὐ συμφωνοῦσι· τὰς ἡμέ-
ρας αὐτῶν ἐναλλάξαντες· καὶ ἔξω δὲ τῆς σαμα-
ρείας περὶ τὰς βρώσεις ἀδιαφοροῦσι· Σεβουαῖοι
δὲ διαφέρονται μὲν πρὸς τοὺς γορθηνοὺς διὰ τὴν
τῶν ἑορτῶν ἐναλλαγήν· τῆς δὲ σαμαρείας, οὐκ ἐξί-
ασιν ἀκαθάρτους ἡγούμενοι τοὺς ἀπὸ τῆς σαμαρεί-
ας ἀποδημοῦντας· Οἱ δὲ ἐσσηνοὶ πρὸς οὐδένα διαφέ-
ρονται· ἀλλὰ καὶ προσίενται καὶ συσσιτοῦνται τοῖς
ἔξωθεν, ὡς πρὸς αὐτοὺς ἐπιδημοῦσι· δοσιθιανοὶ
δὲ ἀκριβέστεροι τῶν ἄλλων δοκοῦσιν εἶναι· καὶ γὰρ
ἐγκρατεύονται καὶ παρθενίαν ἐπιτηδεύουσι· καὶ
ἀνάστασιν γενήσεσθαι πιστεύουσιν.

ρμβ **Τίνες αἱρέσεις παρ' ἕλλησι γεγόνασιν.**

Ἡ περὶ τῶν φυσικῶν· ἡ περὶ θεολογίας· ἡ περὶ
τῶν ἑπτὰ σοφῶν· ἡ ἰσοκρατική· ἡ κυρηναϊκή·
ἡ κυνική· ἡ ἠλιακή· ἡ αἱρετική·

ἹΠΠΟΛΥΤΟΥ ΘΗΒΑΙΟΥ ἘΚ ΤΟΥ ΧΡΟΝΙΚΟΥ ΑΥΤΟΥ ΣΥΝΤΑΓΜΑΤΟΣ· ρλϛ

Ἰάκωβος ὁ ἐπικληθεὶς δίκαιος· καὶ γενόμενος πρῶτος
ἐπίσκοπος ἱεροσολύμων· ἀδελφὸς μὲν τοῦ κυρίου κατὰ σάρκα
λέγεται εἶναι· υἱὸς δὲ τοῦ τέκτονος ἰωσήφ, ἐκ τῆς βιωτικῆς
αὐτοῦ γυναικός· ἀδελφοί· συμεών· ἰωσῆς· ἰούδα καὶ ἰωσῆ·
τέσσαρας γὰρ υἱοὺς ἔσχεν ὁ ἰωσὴφ καὶ δύο θυγατέρας·
τὴν δὲ μάρθαν καὶ τὴν μαρίαν ἐκ τῆς γυναικὸς αὐτοῦ τῆς σαλώμης·
θυγατρὸς ἀγγαίου τοῦ ἀδελφοῦ ζαχαρίου τοῦ ἱερέως τοῦ πρὸς
ἰωάννου τοῦ βαπτιστοῦ υἱοῦ βαραχίου τοῦ υἱοῦ ἀβιὰ τοῦ ἱερέως·
καὶ τότε ἐχήρευσεν ὁ ἰωσήφ· ὡς τὴν σαλώμην καὶ
τὸν βαπτιστὴν ἰωάννην, ἀδελφῶν τέκνα ἀρρενικῶν εἶναι·
ὁ γὰρ ἀγγαῖος υἱὸς βαραχίου· θεῖος δὲ ἰωάννου· ὁμοίως δὲ
καὶ ὁ ζαχαρίας ἀδελφὸς ἀγγαίου· θεῖος δὲ σαλώμης τῆς
γυναικὸς ἰωσήφ· ἡ γὰρ μαρία ἀπὸ βηθλεὲμ ἐτύγχανεν·
ἀνεψιὰ δὲ αὕτη ἐτύγχανε τῆς ἐλισάβετ καὶ τῆς ἁγίας
μητρὸς μαρίας· τρεῖς γὰρ ἦσαν ἀδελφαὶ ἀπὸ βηθλεέμ·
θυγατέρες ματθὰν τοῦ ἱερέως· καὶ μαρίας τῆς αὐτοῦ
γυναικός, ἐπὶ τῆς βασιλείας κλεοπάτρας πρὸ τῆς
βασιλείας ἡρώδου τοῦ υἱοῦ ἀντιπάτρου· ὄνομα τῇ α' μαρία·
ὄνομα τῇ β' σοβή· καὶ ὄνομα τῇ γ' ἄννα· ἔγημεν τε
ἡ πρώτη ἐν βηθλεέμ· καὶ ἔτεκε σαλώμην τὴν μαῖαν·
ἔγημεν τε καὶ ἡ δευτέρα ἐν βηθλεέμ· καὶ ἔτεκε τὴν ἐλισάβετ·
ἔγημεν τε καὶ ἡ τρίτη εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ
ἐγέννησε μαρίαν τὴν θεοτόκον ἐν βηθλεέμ· ὡς εἶναι σαλώμην
τὴν μαῖαν καὶ τὴν ἁγίαν ἄνναν τὴν γεννήσασαν μαρίαν
τὴν παναγίαν θεοτόκον· καὶ τὴν ἁγίαν ἐλισάβετ τὴν γεννή-
σασαν τὸν πρόδρομον, θυγατέρας ἀδελφῶν τριῶν θηλειῶν·
ἐντεῦθεν οὖν ὁ βαπτιστὴς ἰωάννης, καὶ ὁ κύριος ἡμῶν ἰησοῦς,
ἀνεψιοὶ λέγονται εἶναι· υἱὸς δὲ τοῦ ἰωσὴφ ἐνομίζετο· ἐπειδὴ
καὶ τῶν υἱῶν αὐτοῦ τῶν ἐκ τῆς πρώτης γυναικός, ἀδελφὸς ἐνομίζετο·
ζαχαρίας ὁ πατὴρ ἰωάννου, ἀδελφὸν ἔσχε συνιερέα καλούμενον
ἀγγαῖον πρὸ αὐτοῦ τετελευτηκότα· τούτου τοῦ ἀγγαίου
θυγατέρα ἠγάγετο πρὸς γάμον ἰωσὴφ ὁ τέκτων· ἐξ ἧς ἐγέννησε
τέσσαρας υἱοὺς καὶ γ' θυγατέρας· ὧν εἷς ἦν ἰάκωβος ὁ
ἐπικληθεὶς ἀδελφὸς τοῦ κυρίου, καὶ πρῶτος ἐπίσκοπος ἱεροσολύμων·
καὶ τὸ ὄνομα τῆς γυναικὸς ἰωσήφ, σαλώμη· οὐχ ἡ
μαῖα, ἀλλ' ἑτέρα· μετὰ δὲ θάνατον αὐτῆς, μνηστεύεται
ἰωσὴφ τὴν θεοτόκον μαρίαν· κατὰ τὸ μητρικὸν γένος
καταγομένην ἀπὸ τοῦ ματθὰν τοῦ ἱερέως· καὶ αὐτοῦ
ἀπὸ σολομῶντος τοῦ υἱοῦ δαβὶδ καταγομένην· ὡς φησὶ

τὸ κατὰ λουκᾶν εὐαγγέλιον γενεαλογοῦν· οὗτος γὰρ
ματθὰν ἔσχε θυγατέρας ἐκ μαρίας τῆς γυναικὸς αὐτοῦ
τὰ ὀνόματα· μαρία. σοβὴ. ἄννα· ἡ οὖν μαρία
γεννᾷ τὴν ἐλισάβετ τὴν μητέρα ἰωάννου τοῦ βαπτιστοῦ·
ἡ δὲ ἄννα γεννᾷ τὴν ἁγίαν θεοτόκον ἐν βηθλεέμ. τὴν
κατὰ τὸ ὄνομα τῆς μάμμης καὶ θείας ἐπικληθεῖ-
σαν μαρίαν· ὡς εἶναι τὴν ἐλισάβετ ἀνεψιὰν μὲν
τῆς ἄννης. ἐξαδέλφην δὲ τῆς θεοτόκου· κυροῦνται τὰ
ἑκάτερα τοῦ εὐαγγελίου· διὰ τοῦ διηγεῖσθαι τὸ παλαι-
ὸν γένος καὶ σαρκικὸν τοῦ χριστοῦ· ἦν γάρ φησιν ὡσεὶ
ἐτῶν λ ἀρχόμενος ὢν ὡς ἐνομίζετο υἱὸς ἰωσὴφ τοῦ ἠλεὶ τοῦ ματθάν

ρλζ τίνες εἰσὶν οἱ ἀπὸ τῶν μαθητῶν τῶν ὀ-
νομαστὶ γνώριμοι· βαρνάβας, ὁ σὺν τῷ παύλῳ κηρύξας τὸ εὐαγγέλιον
καὶ τοῖς ἀποστόλοις ἑαυτὸν μαθητὴν γεγονότα τοῦ
εὐαγγελίου εἰς τὴν ἱλημ ἐμφανίσας· ματθίας
ὃς ἀντὶ τοῦ ἰούδα συγκατεψηφίσθη μετὰ τῶν ἀ-
ποστόλων δι' εὐχῆς κληθείς· ἰοῦστος· ὃς αὐτὸς τῷ
κλήρῳ τῶν ἀποστόλων ὑπεβλήθη· θαδδαῖος· ὃς ἐν
τῇ μεσοποταμίᾳ ἐν τῇ ἐδέσσῃ κῆρυξ τοῦ λόγου
πρὸς αὔγαρον βασιλέα ἀπεστάλη· καὶ ἰωάννην
δὲ τὸν ἐπικληθέντα μάρκον, ἐξ αὐτῶν γεγονότα ἐ-
πιγινώσκομεν· ἰούδας καὶ σίλας οἱ ὑπὸ τῶν ἀποστόλων μετὰ
παύλου καὶ βαρνάβα διὰ τὸ ζήτημα τὸ περὶ τῆς
νομικῆς φυλακῆς εἰς τὴν ἀντιόχειαν ἀπὸ τῆς
ἱλημ ἀποσταλέντες· κλήμης δέ φησι καὶ τὸν
κηφᾶν περὶ οὗ φησιν ὁ παῦλος· ὅτε δὲ ἦλθε κη-
(Galat. II, 11.) φᾶς εἰς ἀντιόχειαν κατὰ πρόσωπον αὐτῷ ἀν-
τέστην, ὅτι κατεγνωσμένος ἦν, ἕνα τῶν ὁ εἶναι,
μὴ γὰρ περὶ τοῦ ἀποστόλου πέτρου ταῦτα λέγειν αὐτόν·

πόσοι διωγμοὶ κατὰ τῆς ἐκκλησίας γεγόνα-
σιν ὑπὸ ἰουδαίων ἕως τῆς ἁλώσεως αὐτῶν
καὶ τοῦ ἐμπρησμοῦ τοῦ ναοῦ· τρεῖς μὲν κατὰ τῶν ἀποστόλων ἐν τῇ ἱερουσαλὴμ γεγόνασι
τρεῖς δὲ καὶ κατὰ τοῦ παύλου· οὐ μόνον ἐν τῇ ἱλημ γεγό-
νασιν, ἀλλὰ καὶ ἐν τῇ διασπορᾷ· ὑπὸ τῶν ἰουδαίων δὲ
καὶ οὗτοι· καὶ πρῶτος μὲν ἦν ὁ κατὰ τὸν συγκλεισμὸν
τῶν ἀποστόλων ὑπὸ τῶν ἀρχιερέων γενόμενος· δεύτε-
ρος· ὁ ἐπὶ στεφάνῳ τῷ πρωτομάρτυρι, ᾧ καὶ ὁ παῦλος
συνευδόκει· τρίτος· ὁ ἐπὶ τῇ ἀναιρέσει ἰακώβου καὶ
πέτρου καθειρχθέντι ὑπὸ ἡρώδου γεγενημένη· ὅτε
καὶ ὁ ἄγγελος τὸν μὲν πέτρον ἀπὸ τῶν δεσμῶν

ἔλυσε. καὶ τοῦ δεσμωτηρίου ἐξήγαγε· τὸν δὲ ἡρώδην
μὴ δημηγοροῦντα ἐν καισαρείᾳ ἀθρόως ἐν ὀργῇ πληγεὶν·
κατὰ δὲ τοῦ παύλου καὶ τῶν ἀδελφῶν, τέταρτος ἐν
λυκαονίᾳ ὑπὸ τῶν ἰουδαίων ἐκινήθη διωγμός· καὶ
πέμπτος ἐν βεροίᾳ καὶ κορίνθῳ· ἕκτος δὲ ἐν τῇ ἱλημ
ἐφ᾽ ᾧ καὶ ἐν τοῖς δικαστηρίοις ἐξέτασις πολλάκις ἐγένετο τοῦ κηρύγματος·
καὶ τέλος ἡ εἰς τὴν ῥώμην ἐπὶ καίσαρος δεσμίου ἐκπομπῆς.

Πόσοι καὶ οἱ διὰ ἑλλήνων διωγμοὶ γεγονότες καὶ διὰ τίνων· ρλη·

Πρῶτος νέρων διωγμὸν ἤγαγε κατὰ χριστιανῶν· ὃς πέτρον
μὲν σταυροῦσθαι· παῦλον δὲ πελεκίζεσθαι προστάττει· τοῦ
πέτρου κάτω κάραν σταυρωθέντος δεηθῆναι· δεύτερος· δο-
μετιανὸς μέγαν κινεῖ καθ᾽ ἡμῶν διωγμόν, πονηρὸς καὶ
οὗτος γενόμενος· ὃς καὶ τὸν εὐαγγελιστὴν ἰωάννην εἰς πάτμον
τὴν νῆσον ἐφυγάδευσε· τρίτος διωγμὸς ἐξ ἐπαναστάσεως δήμων
κατὰ τὰ ἔθνη κινηθέντων, κατὰ χριστιανῶν συνέστη· τῶν ἀρχόντων
μᾶλλον κινησάντων αὐτούς· τοῦτον δὲ ἔπαυσε τραϊανὸς ὕστερον
τὸ δόγμα διδαχθείς· ἐπὶ δὲ τοῦ διωγμοῦ τούτου, πιόνιος καὶ
οἱ κατ᾽ αὐτὸν μάρτυρες διέπρεψαν· τέταρτος διωγμὸς ὑπὸ
μάρκου καὶ τοῦ υἱοῦ αὐτοῦ ἀντωνίου κατὰ τῆς ἐκκλησίας ἐκτείνεται·
ἐπὶ τούτων πολύκαρπος ἐν τῇ ἀσίᾳ μαρτυρεῖ· μητρόδωρος.
κάρπος. πάπυλος, ἀγαθωνίκη. καὶ ἕτερον πλῆθος ἁγίων διὰ
τοῦ θείου τελειοῦται μαρτυρίου· πέμπτος ὑπὸ σευήρου κατὰ τῆς
ἐκκλησίας μέγας συγκινεῖται διωγμός ἐφ᾽ οὗ ἰουστῖνος ἐμαρτύρησε·
καὶ λεωνίδης ὁ ὠριγένους πατήρ· καὶ ποταμίαινα ἡ ἁγία
παρθένος, καὶ βασιλείδης· καὶ πλῆθος θείων τελειοῦται μαρτύρων·
ἕκτος· μαξιμῖνος πρώτους πάντας τοὺς ὅποι δ᾽ οὖν ὡς κληρικοὺς
ἀναιρεῖσθαι προστάττει, καὶ τότε τοὺς λέγοντας ἑαυτοὺς εἶναι χριστιανούς·
Ἕβδομος, δέκιος φοβερῶς ἐχρήσατο τῷ διωγμῷ· καὶ μαρτυρεῖ
φλαβιανὸς ἐπίσκοπος ῥώμης· ἀλέξανδρος ἐπίσκοπος ἱεροσολύμων·
βαβύλας ἐπίσκοπος ἀντιοχείας· σαραπίων ἐπίσκοπος ἀλεξανδρείας·
ἀπολλωνία παρθένος· καὶ ἀμμωνάριον· σὺν ἄλλαις τέσσαρες
παρθένοις δεινῶς βασανισθεῖσαι· ἰουλιανὸς ὁ ποδαλγὸς
ἐπὶ καμήλου περιφερόμενος· καὶ τῇ ἀσβέστῳ περιρραινόμενος·
ὁ ἐπίσκοπος καρχηδόνης κυπριανός· μερκουρία δὲ καὶ διονυσία
ἡ πολύπαις· παρεστηκότων αὐτῇ τῶν παίδων αὐτῆς καὶ βασανι-
ζομένη, οὐκ [redacted] ἔστι ζε τῆς Χυ φιλίας τὴν πολυπαιδίαν·
ἐπὶ δὲ τούτου, πλεῖστοι μάρτυρες κατὰ πόλεις ἢ κατὰ χώρας,
τοῖς ἁγίοις χοροῖς συγκατελέχθησαν· ὠριγένης δὲ οὐκ ἠξιώθη τῆς
μαρτυρίας ἐν τούτῳ συσχεθεὶς τῷ χρόνῳ· ἀλλ᾽ ἀπολυθεὶς, εἰς μετάνοιαν ἐ-
βίω τὸν λοιπὸν αὐτοῦ χρόνον· ὄγδοος· οὐαλεριανός, χριστιανοὺς
ἐπολέμησε· καὶ πολλοὶ καὶ ἐπ᾽ αὐτοῦ μεμαρτυρήκασιν·

ἐξ ὧν εἰσι καὶ οἱ ἐν καισαρείᾳ τῆς παλαιστίνης μάρ-
τυρες τρεῖς· πρῖσκος· μάλχος· ἀλέξανδρος· ἔννατος
αὐρηλιανὸς κινεῖ διωγμόν, οὐχ οὕτως ἄγριον καὶ
ἐμφανῆ· μόνον γὰρ τῶν ἀρχόντων τῆς συνηθείας
τῶν παλαιῶν νόμων κατὰ Χριστιανῶν τι γίνεσθαι συγ-
χωρήσαντος· Δέκατος· ὁ μέγιστος κατὰ τῆς ἐκκλησίας
ὑπὸ διοκλητιανοῦ διωγμὸς ἐγείρεται· ἐφ' οὗ καὶ πολ-
λοὶ μάρτυρες ἄνδρες ἐπιφανεῖς διέπρεψαν ἐν τῷ
μαρτυρίῳ· ἄνθιμος ἐπίσκοπος νικομηδείας· φιλέ-
ας ἐπίσκοπος· θμουΐτης· ἀδαύκτος καθολικός, καὶ ἐν
τῶν αὐτῷ διαπρέπων, ἀξιώματι· πελαγία ἡ ἐν ἀντιοχεί-
ᾳ παρθένος νέα κόρη. ῥίψασα ἑαυτὴν ὑπὸ τοῦ τέγους
τῆς ἰδίας οἰκίας· τυραννίων ἐπίσκοπος τύρου· ζηνόβι-
ος πρεσβύτερος σιδῶνος· σιλβανὸς ἐπίσκοπος ἡμισῶν
ῥωμανὸς ἐπίσκοπος ἀντιοχείας· ζηνόβιος ἀρχιατρὸς
ἀντιοχείας· σιλβανὸς ἐπίσκοπος γαζαίων μετὰ καὶ
ἄλλων μ'· πηλεὺς καὶ νεῖλος ἐπίσκοποι αἰγύπτιοι·
πάμφιλος πρεσβύτερος καισαρείας· πέτρος ἐπίσκο-
πος ἀλεξανδρείας· καὶ σὺν αὐτῷ πρεσβύτεροι
φαῦστος· δῖος· ἀμμώνιος· ἐπίσκοποι δὲ φυλέας·
ἡσύχιος· παχούμιος· θεόδωρος· γάϊος τε ἐν λαοδικεί-
ᾳ ὑπὸ τῶν δήμων σύρεις, μαρτυρεῖ· καὶ σεβαστιανός
στρατιώτης ὄντων ὁπλιτῶν ὁμολογήσας Χριστιανὸς εἶ-
ναι, πελεκίζεται· καὶ ἀριθμοὶ δὲ ὁλόκληροι στρατι-
ωτῶν μετὰ τῶν χιλιάρχων καὶ ἑκατοντάρχων ἀφαι-
ρεθέντες τῶν ὅπλων, ἐμαρτύρησαν· μετὰ τοῦτον,
μαξιμῖνος ἐνδέκατον διωγμὸν διαδέχεται, ὃν αὐτὸς
πάλιν ἔπαυσε διατάγματι· ἔνθεν ἡ ἐκκλησία τῶν
διωγμῶν ἀνέπνευσε τῶν ἐξ ἑλλήνων ἐπὶ κωνσταντίνου
καὶ κωνσταντίου καὶ κώνσταντος βασιλευόντων,
πολλὴν ὑπέμεινε ταραχὴν ὑπὸ ἀρειανῶν· μετὰ
τούτους, ἰουλιανοῦ βασιλεύσαντος τῶν ἑλλήνων^ ἐλάχ.
οὐ διώκοντος δὲ Χριστιανοὺς· ἀλλὰ βδελυξαμένου
καὶ συγγραψαμένου κατ' αὐτῶν· τῶν δὲ δήμων
κατά τε πόλεις καὶ κώμας τῆς τοῦ βασιλέως
γνώμῃ συγχρησαμένων δυνατοῖς Χριστιανοῖς
δεινὰ τοῖς διατιθέντων· ἔνθεν καὶ αἱ αἱρέσεις κατὰ τῆς ἐκκλη-
σίας ἐπανέστησαν· τῶν τε ἀρειανῶν καὶ τῶν ἀνθρωπολατρῶν

Ἰωδαὲ ἀρχιερεὺς ὁ τὴν γοθολίαν ἀποκτείνας, ζήσας ἑκατὸν καὶ τριάκοντα ἔτη·

Τίνες λέοντας χερσὶν ἀνεῖλον· ρνη

Σαμψὼν ὁ ναζωραῖος· Δαβὶδ ὅτε τὰ τοῦ πατρὸς ἔνεμε ποίμνια·
Βαναίας ὁ τοῦ [illegible] ἰωὰβ τοῦ Δαβὶδ ὁ στρατηγός·

Τίνες ὑπὸ λεόντων ἀνῃρέθησαν· ρνθ

[illegible] ἰαὼδ ὁ προφήτης ὁ τὸ σημεῖον εἰς τὴν βεθὴλ
διὰ τὴν τοῦ θυσιαστηρίου διάρρηξιν· ὁ ἄνος ὁ κελευσθεὶς
πατάξαι τὸν προφήτην· τὸν βουλόμενον δεῖξαι ἑαυτὸν
τετραυματισμένον τῷ ἀχαὰβ καὶ μὴ ὑπακούσας· οἱ
κατοικισθέντες μετὰ τὴν τοῦ ἰσλ αἰχμαλωσίαν. βαβυλώνιοι εἰς σαμάρειαν·

Τίνες ἐπὶ ἱεροσυλίαις ἀνῃρέθησαν· ρξ

ἄχαρ ἐπὶ ἰησοῦ τοῦ ναυῆ ἐπὶ τοῖς ἀναθήμασι τῆς ἰε-
ριχὼ· ὀφνὶ καὶ φινεὲς οἱ τοῦ ἠλεὶ ἐπὶ τὸ ἑαυτοῖς ἀπάρχεσθαι
τὰ ἱερεῖα· ἀνανίας καὶ σαπφείρα ἡ τούτου γυνὴ· ἐπὶ τῷ
νοσφίσασθαι τινὰ τιμῆς ἀγροῦ προσάγειν· ἔθελον δὲ τὴν ἀποστολικὴν
πολιτείαν ἀπατᾶν· ὡς ὅλην τοῦ ἀγροῦ τὴν τιμὴν μὴ προσενηνοχότας·

Τίνες εἰς λάκκους εἰς τὸ ἀναιρεθῆναι ἐβλήθησαν· ρξα

ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν· ἱερεμίας ὑπὸ τῶν ἀρχόντων τοῦ λαοῦ·
δανιὴλ ὑπὸ [illegible] περσῶν·

Τίνες δίκας ἔδοσαν πλημμελήσαντες· ρξβ

Κάϊν ἀποκτείνας τὸν ἀδελφὸν, [illegible] εἰς ἑβδόμην γενεὰν παραλυθεὶς·
σοδόμων αἱ πόλεις καταφλεχθεῖσαι· διὰ τὴν τῆς φύ-
σεως παραχάραξιν· χαναναῖοι καὶ ἀμορραῖοι τῶν οἰ-
κείων ἐκβληθέντες διὰ τὴν εἰδωλολατρείαν· φαραὼ καὶ
οἱ αἰγύπτιοι θείοις ἐναντιούμενοι σημείοις, εἰς τὸν βυθὸν
συσχεθέντες· σαοὺλ ἐν πολέμῳ πεσὼν ἅμα τοῖς οἰκείοις
καὶ τοῖς γαβαωνίταις, ἐκδιδομένων τῶν υἱῶν αὐτοῦ
εἰς ἐξιλέωσιν· ἡ τοῦ βενιαμὶν φυλὴ ἐπὶ τῇ ἀσελγείᾳ τῆς
γυναικὸς τοῦ βηθλεεμίτου· ἡ βαβυλὼν ἐπὶ τῇ βασιλείᾳ
ἐπαρθεῖσα, εἰς ἐρημίαν ἐκδοθεῖσα· ἄχαρ ἱεροσυλήσας·
ὁ ἐν τῇ ἐρήμῳ τὸ σάββατον βεβηλώσας ἐπὶ τῇ τῶν ξύλων συλλογῇ·
ὁ [illegible] ἐν τῇ μάχῃ βλασφημήσας κατὰ τὴν ἔρημον· οἱ
τοῦ ἠλεὶ παῖδες τῆς ἱερωσύνης μετὰ τιμωρίας καταλυθέντες·
σεδεκίας ἐκτυφλωθεὶς ὑπὸ τοῦ βαβυλωνίου· ὁ λαὸς ὁ
ἰουδαίων ἐπὶ τῇ κατὰ τοῦ σρς ἐπαναστάσει, τὴν ἔτι κατέχουσαν
αὐτὸν ὑπομένων μετὰ ἀνακαθηρίας αἰχμαλωσίαν·

Τίνες πλημμελήσαντες ἐλέους τετυχήκασιν· ρξγ

Οἱ τοῦ ἰωσὴφ ἀδελφοὶ πεπρακότες αὐτὸν, καὶ διασωθέντες ὑπ᾽ αὐτοῦ·
Δαβὶδ ταπεινώσας ἑαυτὸν ἐπὶ τῇ πλημμελείᾳ, καὶ ἐκτενῶς
ἐξομολογούμενος· σαλομὼν γυναιξὶ τῶν ἐθνῶν εἰδώλοις δει-
[illegible]μενος· καὶ διὰ τὸν πρᾶ μὴ τιμωρηθεὶς· μανασσῆς
ἐν αἰχμαλωσίᾳ ἀπαχθεὶς, καὶ ἐπὶ θν ἐπιστραφεὶς, καὶ
διὰ τοῦτο ἐπαναχθεὶς· ἰωακεὶμ λυθεὶς ἀπὸ τῶν δεσμῶν·
καὶ τιμώμενος βασιλικῇ τιμῇ ὑπὸ τοῦ βαβυλωνίου·

‸την εἰς τὸν

ὁ λῃστὴς ἐπὶ τοῦ σταυροῦ τῆς ὁμολογήσας, καὶ [illegible] παράδεισον ὁδὸν εὑράμενος. ὁ ἀπόστολος Παῦλος διώκων τὴν ἐκκλησίαν· καὶ κῆρυξ ἧς ἐπολέμει Χριστοῦ πίστεως ἀποστελλόμενος· ἡ ἐκκλησία ἡ ἐξ ἐθνῶν ἐπὶ ταῖς τοσαύταις πλημμελείαις ἐλεημένη· καὶ διὰ πίστεως Χριστοῦ τῆς [illegible] τελείας δικαιώσεως ἀξιουμένη·

ρξδ ΤΙΝΕC ΕΙCΙΝ ΟΙ ΚΑΤΟΡΘΟΥΝ ΤΙ ΔΟΞΑΝΤΕC, ΚΑΙ ΕΠΙ ΤΟΥΤΟ ΔΙΑΜΑΡΤΩΝΤΕC·

ὁ τὸν Σαοὺλ ἐπισφάξαι καυχησάμενος τῷ Δαβίδ· καὶ κομίσας αὐτῷ τὸ τῆς βασιλείας σημεῖον ὡς αὐτῷ προσηκούσης τῆς βασιλείας ἀναιρεθῆναι προσταχθεὶς ὑπὸ τοῦ Δαβίδ· Ῥεχὰβ καὶ Βαναίας οἱ υἱοὶ Ῥεμμὼν οἱ Μεμφιβοσθὲ τοῦ υἱοῦ Σαοὺλ τὴν κεφαλὴν κομίσαντες τῷ Δαβίδ, καὶ μεγάλην αὐτῷ δόξαντες καταθέσθαι χάριν· δι᾽ ἧς καὶ εὐδοκιμεῖν ἤλπιζον· ἀναιρούμενοι διὰ τοῦτο· Ὀζὰ ὁ τὴν κιβωτὸν ἐπικλιθεῖσαν ἐπισπασάμενος πρὸς ἑαυτὸν πρὸς τὸ μὴ περιτραπῆναι ἀπὸ τῆς ἁμάξης ἀποθανὼν παραυτίκα· ὁ κελευσθεὶς ὑπὸ τοῦ προφήτου Μιχαίου πατάσσειν αὐτὸν, καὶ δι᾽ εὐλάβειαν οὐ πατάξας, ἀναιρεθεὶς ὑπὸ λέοντος· ὁ Φαρισαῖος ὁ ἐπὶ τῇ οἰκείᾳ δικαιοσύνῃ, τοῦ τελώνου κατακαυχώμενος·

ρξε ΤΙΝΑ ΕCΤΙ ΤΑ ΕΘΝΗ ΚΑΙ ΠΟCΑ ΤΑ ΤΟΙC ΙΕΡΟΙC ΤΟΠΟΙC ΥCΤΕΡΟΝ ΕΠΑΝΙCΤΑΜΕΝΑ ΚΑΙ ΘΕΗΛΑΤΟΝ ΥΠΟΜΕΙΝΑΝΤΑ ΤΗΝ ΤΙΜΩΡΙΑΝ·

Γὼγ καὶ Μαγώγ· οἵ εἰσι Σκύθαι· Μοσώχ· Ἰλλύριοι· Θωβὲλ Θεσσαλοί· Γόμερ· Γαλάται· Θεργαμὰ Ἀρμένιοι· Σαββαίων· Ἄραβες· οἱ πρῶτοι Ἰνδῶν· Θαρσεῖς· Ἄφροι· Χοῦς· Αἰθίοπες· Φούδ· Λίβυες· Φρές· Πέρσαι·

ρξς ΑΙ ΔΥΝΑΜΕΙC ΤΩΝ ΛΙΘΩΝ ΤΩΝ ΕΝ ΤΗ ΤΟΥ ΑΡΧΙΕΡΕΩC ΖΩΝΗ ΕΝΤΙΘΕΜΕΝΩΝ·

ἴασπις· μοιχείας ἀποτρεπτική· σάπφειρος· ὀφθαλμοῖς στιλπνωτικὴ λαμπρά· χαλκηδόνιος· σωφροσύνης πρόσφορος· σμάραγδος· δαιμόνων ἀπελαστική· σαρδόνυξ· διαπυρσαίνουσα· σάρδιος χρυσό- λίθος ὀδύνας [illegible] ὀφθαλμῶν ἰῶνται· βήρυλλος· λύχνης ἰαστική· τοπάζιος· χρυσόπρασος· ὑάκινθος· ἀμέθυστος μέθης ἀλεξιτήριον· ἄνθραξ· ἀχάτης· λιγύριος· ὀνύχειος·

+ ΤΕΡΜΑ ΠΤΥΚΤΙΔΩΝ, ΕΝΤΑΥΘΑ ΙΩCΗΠΠΟΥ·
ΤΑC ΥΠΟΘΕCΕΙC ΤΩΝ ΠΕΝΤΕ ΒΙΒΛΩΝ ΕΧΩΝ:
ΠΕΡΑC ΔΕΔΩΚΑ ΤΩ ΤΕΛΕΥΤΑΙΩ CΤΙΧΩ·
ΤΩ CΥΝΤΕΛΕCΤΗ ΤΩΝ [illegible] ‸ΚΑΛΩΝ ΘΕΩ ΧΑΡΙC:
τῷ συμπέρασμα δόντι μοι λόγους γράφειν·
εἰς κοινὸν εὐχάριστον σκοπὸν τοῦ λόγου·

Πόσαι αἱρέσεις κατὰ τῆς ἐκκλησιαστικῆς ρλθ
πίστεως ἐπανέστησαν.

α. Πρῶτον ἐπὶ τῆς ἐν σαρκὶ τοῦ κυρίου παρουσίας, γεγό-
νασί τινες Ἡρωδιανοὶ Χριστὸν τὸν Ἡρώδην εἶναι λέγοντες· Θευδιανοί·
β. Θευδαῖοι ἀπαχθέντες· τούτου μέμνηται καὶ
Γαμαλιῆλος ὁ νομοδιδάσκαλος, γνώμην τοῖς ἀρ- Γαμαλιηλ, νομοδιδ. Act. V, 34.
χιερεῦσιν εἰσηγούμενος· βουλευομένοις τι δρᾶν
κατὰ τῶν ἀποστόλων, πρὸς τὸ μηδέν τι κατ' αὐτῶν
ἐνεργεῖν λέγων· πρὸ γὰρ τούτων τῶν ἡμερῶν Act. V, 35.
ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν.
γ. Ἐπὶ τῶν ἀποστόλων ἄλλη αἵρεσις ἐν γῇ Ἰουδαίᾳ
Αἰγυπτίου μάγου τινὸς συνέστη· καὶ ταύτης μνήμη (φη)
τῆς ἐν ταῖς ἀποστολικαῖς πράξεσι γίνεται· ὅτε φησὶν
ὁ χιλίαρχος τῷ Παύλῳ· Ἑλληνιστὶ σὺ γινώσκεις· ἑλληνιστὶ γινώσκεις; Act. XXI, 37, 38.
οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν
ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν
ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων.
δ. Σιμωνιανοί, Σίμων καὶ αὐτὸς ἐπὶ τῶν ἀποστόλων
μάγος γενόμενος· αἵρεσιν διὰ τῆς τῶν σημείων
ἐν τέρασι ψευδοῦς ἐνδείξεως· εἰσήγαγε λέγων
ἑαυτὸν εἶναι υἱὸν θεοῦ δύναμιν τὴν μεγάλην· καὶ Act. VIII, 10.
ταύτης μνήμη τῆς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων φέρεται.
ε. Ἐβιωναῖοι· καὶ οὗτοι κατὰ τῶν ἀποστόλων χρόνους,
γεγόνασι πτωχοὶ ἑρμηνευόμενοι διὰ τὸ περὶ
τὴν πίστιν πτωχεύειν· τὰ γὰρ σωματικὰ νό-
μιμα Μωϋσέως, ἐπιτελεῖν ἔτι βούλονται τῆς πίστεως.
ϛ. Εἰσὶ καὶ ἄλλοι Ἐβιωναῖοι, οἱ καὶ Ναζωραῖοι
καλούμενοι· τὰ αὐτὰ μὲν περὶ τὰ Μωϋσέως
νόμιμα τοῖς ἄλλοις διακείμενοι· οὐ μὴν
τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν θεοῦ λόγον προϋπάρχοντα
εἶναι θεὸν καὶ θεοῦ υἱὸν δοξάζοντες· ἀλλ' αὐτὸν
τιμῆς υἱοῦ θεοῦ ἠξιωμένον.
ζ. Μενανδριανοί· ὁ Μένανδρος τις ἀπὸ Σίμωνος

ἀποσχίζας, ἄνωθεν ἑαυτὸν ἔλεγε καταπεμ-
φθῆναι εἰς διδασκαλίαν τῆδε τοῦ κόσμου· ἀγγέ-
λους γεγονέναι πολλούς τινας καὶ ἀναριθμή[τους].
τως. Η Σατορνιλιανοί· ὁ Σατορνῖλος οὗτος ἀπὸ
τῆς μενάνδρου διέσῃ· δι᾽ ἑπτὰ μόνων ἀγγέ-
λων γεγονέναι, παραδιδοὺς τὸν κόσμον, ἀλλ᾽
οὐ διὰ πλειόνων ὡς μένανδρος ὑπετόπασε.
Θ Βασιλειδιανοί· ὁ βασιλείδης ἐν αἰγύπτῳ γε-
λέγει γόνει τξε εἶναι ^ οὐρανούς· καὶ ὀνόματα
τούτοις ἐπιφημίζει· καὶ τὸ ἀβραξὰς ὄνομα
τιμᾷ· ἰσάριθμον ὂν τῶν οὐρανῶν καὶ ἡ-
μερῶν τοῦ ἐνιαυτοῦ· τριακοσίους γὰρ
Ωρος Η, 6.15. καὶ ξε ψήφους φέρει. Νικολαΐται.
Ι Νικόλαος ἀπὸ τῶν Ζ διακόνων τῶν ὑπὸ
τοῖς ἀποστόλοις εἷς ἐγένετο· ἐν τῷ κοινὰ
εἶναι τὰ πάντα τοῖς πᾶσι· καὶ τὰς γυ-
ναῖκας ἐξηγη[redacted]σάμενος· καὶ ξένα
τινὰ ὀνόματα τιμᾶσθαι παραδούς.
ΙΑ Γνωστικοί· ἐν αἰγύπτῳ ἤρξαντο αἱρετίζειν·
ἀλλαχοῦ δὲ βορβοριανοὶ κεκλήκονται·
αἰσχροποιοὶ οὗτοι· τὴν βαρβηλώτην καὶ
καρ[redacted]βερῶ προφέρουσιν ἐν ταῖς ἑαυτῶν εὐχαῖς.
ΙΒ Ὀφῖται· οὗτοι τὸν ὄφιν τιμῶσι, καὶ προτάττεν-
ται· ὡς καὶ αἴτιον γνώσεως αὐτοῖς γενόμενον.
ΙΓ Καϊανοί· τὸν καϊνὰ, μεγάλην τινὰ
δύναμιν γεγονότα δοξάζουσι.
ΙΔ Σηθῖται· τὸν σὴθ ὡς ἀπὸ τῆς ἄνω μητρὸς
ἐλθόντα. εἰς νέου κόσμου δημιουργίαν τιμῶσιν,
ἀρχὰς καὶ ἐξουσίας θεοποιοῦντες.
ΙΕ Καρποκρατιανοί· ἐν τῇ ἀσίᾳ γεγόνασιν
εἰκόνας τῶν θαυμασθέντων αὐτῶν· καὶ παρὰ
τοῖς ἕλλησι γράψαντες τιμῶσι· καὶ τὴν Ἰυ ψυ-
χὴν, εἰς οὐνὸν ἀνεληλυθέναι· ὡς εὐάρεστον τῷ
θεῷ γεγονυῖαν φασίν.

ις Κηρινθιανοί· κήρινθος, υπ' άγγέλων τόν κόσμον δεδόσθαι ιουδαίοις· ουκ εις άγαθόν αυτούς προβησόμενον έφη·

ιζ Ουαλεντινιανοί· Ανάστασιν ου φασιν είναι παλαιάν αθετούσι διαθήκην· τόν χ̅ν̅ απ ουρ σώμα ενηνοχέναι βούλονται·

ιη Πτολεμαίοι· από ουαλεντίνου πτολεμαίος εις διαστάς συζυγίας αιώνων αυτών λ. του ουαλεντίνου αίρεσει προσήγαγε.

ιθ Σεκυνδιανοί· σεκούνδος τις εγένετο μετά ισιδώρου τινος και επιφανούς· ούτοι τη ουαλεντίνου σφάλει γνώμη και αισχρουργίας προσέθηκαν.

κ. Ηρακλέονες· από ηρακλέα τινός, ογδοάδας τινάς τιμάν επηχθησαν· και τους αποθανόντας αυτών εν εβραϊκαίς επικλήσεσι και τω της απο βαλσάμου μύρω λυτρούσθαι νομίζουσι.

κα Μαρκοσιοί· μάρκος τις γεγένηται, κολωβάρσου συμφοιτητής· δύο αρχάς εισάγων, νεκρών ανάστασιν αθετών· Κολωβαρσιοί·

κβ ο κολωβάρσος, μάρκω μεν τα αυτά φρονών· προσθείς δε και ογδοάδας τινάς·

κγ. Κερδωνιανοί· κερδών τις ηρακλέα διαδέχεται την πλάνην· δύο δε αρχάς εναντίας αλλήλαις υπεστήσατο· τον δε χ̅ν̅, μήτε εκ του θ̅υ̅ γεννητόν, μήτε εκ μαρίας είναι· ανάστασιν αθετεί· και την παλαιάν διαθήκην ου παραδέχεται·

κδ Μαρκιωνισταί· μαρκίων ποντικός γέγονε· τρείς αρχάς είναι εδόξασεν· αγαθόν· δίκαιον· φαύλον· τον δε την παλαιάν τω ισλ̅ νομοθετήσαντος, εναντίαν ούσαν τη καινή· έτερον έφη θ̅υ̅ είναι· ανάστασιν αθετεί· ~~[illegible]~~ βάπτισμα πολλάκις τοις αυτοίς δίδωσιν επί αμαρτιών λύσει· υπέρ κοιμωμένων βαπτίζουσιν.

κε Λουκιανισταί· λούκιος τις ούχ ο αρειανός, γέγονε μετά μαρκίωνα τα μαρκίωνος διαδεξάμενος· και έτερα αυτοίς επιπροσθείς αλλόκοτα·

κς Ἀπελλιανοί· ἀπὸ Ἀπελλοῦ τινος ἤρξαντο·
κακίζει δὲ τὴν ποίησιν πᾶσαν, ὡς καὶ ὁ Μαρκίων· τρεῖς δὲ ἀρχὰς οὐκ εἶπεν ὡς ἐκεῖνος· ἀλλ' ἕνα
θεὸν πεποιηκότα θεὸν ἕτερον τὸν τῆς κτίσεως δημιουργόν.
κζ Τατιανοί· Τατιανὸς ἐν τῇ Μεσοποταμίᾳ γενόμενος
τὴν ἐγκρατιτῶν αἵρεσιν συστησάμενος, ἣν ἔσχεν οἱ πολλοί.
κη Φρύγες· Μοντανός τις καὶ Πρίσκιλλα τὴν αἵ-
ρεσιν ἐν τῇ Φρυγίᾳ συνεστήσαντο· Πέπουζαν τιμὴν
αὐτοῖς πόλιν τῆς Φρυγίας ποιησάμενοι. κθ
Πεπουζιανοί· ἀπὸ Πεπούζης τῆς Φρυγίας οὕτω προσαγο-
ρευόμενοι· κοινωνίαν ἀθέσμον ποιούμενοι καὶ τὰ μυστήρια
συνεσθίοντων. λ Τεσσαρεσκαιδεκατῖται τὸ πάσχα
ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης μετὰ
Ἰουδαίων τελοῦντες. λα Ἄλογοι τινες κληθέντες,
διὰ τὸ μὴ δέχεσθαι τὸν λόγον ἐν ἀρχῇ θεοῦ ὄντα
πρὸς τὸν πατέρα· καὶ διὰ τοῦτο μήτε τὸ Ἰωάννου
εὐαγγέλιον δέχεσθαι, μήτε τὴν ἀποκάλυψιν αὐτοῦ.
λβ Θεοδοτιανοί· Θεόδοτός τις ἐν τῷ Βυζαντίῳ
γενόμενος, ἄνθρωπον εἶπεν εἶναι Χριστὸν ψιλόν, μετο-
χῆς θεοῦ ἠξιωμένον. λγ Ἀρτεμωνιανοί· Ἀρτέμων
γέγονέ τις ἐν τῇ Ἀσίᾳ· τὴν Θεοδότου αἵρεσιν τι-
μήσας· ἄνθρωπον γὰρ εἶπε γεγονότα ψιλὸν τὸν Χριστὸν
ἐν αὐτῷ τὸν θεὸν λόγον κατοικεῖν εὐδοκήσαντα.
λδ Μελχισεδεκιανοί· δύναμιν θεοῦ τὸν Μελχισεδὲκ εἶ-
ναι νομίζουσι· καὶ εἰς αὐτὸν πάσας τὰς γραφὰς ἀνα-
φέρουσιν, αὐτὸν εἶναι λέγοντες τὸν Χριστόν. λε
Ναυάτοι· Ναυάτος μετανοίας τρόπον τοῖς ἁμαρτά-
νουσιν οὐ διδῶσιν· οὗτοι δὲ εἰσὶν οἱ καθαροὺς ἑαυτοὺς
προσαγορεύσαντες. λς Σευηριανοί· γυναῖκας ὁ
Σευῆρος παραιτεῖται· δύναμιν ἀριστερὰν αὐτὴν
καλῶν· τὸν οἶνον ἀποβάλλεται, ἀπὸ μίξεως δρά-
κοντος καὶ τῆς γῆς φῦναι τὴν ἄμπελον φάσκων.
λζ Βαρδισανῖται· ἀπὸ Βαρδισάνου τινὸς ἐν τῇ Μεσο-
ποταμίᾳ γενομένου· οὗτοι δὲ ἀνεφύησαν· ἀνάστα-
σιν ἀθετοῦσι σώματος· καὶ τὴν σάρκωσιν τοῦ
Χριστοῦ κατὰ φαντασίαν γεγενῆσθαι τίθενται.

λη΄. Ἐλκεσσαῖοι· ἐν τῇ Ἀραβίᾳ γεγόνασιν οὗτοι
ἀπό τινος Ἐλκασσαῖ. ψευδοπροφητείας φέροντες·
ἐλέγοντο δὲ καὶ Σαμψαῖοι. λθ΄ Βηριλλιανοί·
Βήριλλος τις ἐν τῇ Ἀραβίᾳ καὶ οὗτος γεγονώς,
ἄνθρωπον τὸν Χν ἐνόμισεν· οὐ πρότερον αὐτὸν ὄντα τὸν
Θν λόγον παραδεξάμενος. μ΄ Οὐαλέσιοι· Οὐάλης
ὁ ἐν τῇ Ἀραβίᾳ καὶ οὗτος γενόμενος, εὐνούχιζε
τοὺς προσιόντας αὐτῷ, καὶ ἀπέτεμνε· τὴν παλαιὰν
γραφὴν μὴ δεχόμενος. μα΄ Σαβέλλιοι· Σαβέλλιός τις
ἐν τῇ Πενταπόλει γεγονώς, τὰς τρεῖς ὑποστάσεις
τῆς μιᾶς θεότητος οὐκ ἀποδεξάμενος, υἱοπάτορα
τὴν θεότητα καὶ σύνθετον παρεφρόνει. μβ΄ Ὠριγένιοι·
αἰσχροποιοῦσι, καὶ τὴν σωφροσύνην οὐ τιμῶσιν ἀποχρώμενοι
τῇ σαρκί· ἀλλ' οὐκ εἰσὶν οὗτοι Ἀλεξανδρέως Ὠριγένους
τοῦ καὶ Ἀδαμαντίου. μγ΄ Ὠριγενιασταί· οὗτος ἐστὶν
ὁ καὶ Ἀδαμάντιος, σωμάτων ἀνάστασιν ἀθετεῖ·
εἰς ἀλληγορίας ἀτόπους τὰς γραφὰς ἔτρεψεν·
ἀπὸ τῆς Ἑλλήνων φιλοσοφίας ἐλθών· τὸν δὲ Ἑλλη-
νισμὸν οὐκ ἀποπτύσας· τοῖς καὶ δέκα αἱρέσεις τῇ
ἐκκλησίᾳ ἐπεισήγαγε. μδ΄ Παυλιανοί· Παῦλος
ἀπὸ Σαμωσάτων τῆς Ἀντιοχέων γενόμενος ἐπίσκοπος,
τὴν Θεοδότου καὶ Ἀρτεμᾶ αἵρεσιν ἀνανεωσάμενος·
ἄνθρωπον Θυ τιμῇ τετιμημένον τὸν Χν· διὰ τὸ τὸν λόγον
τὴν σοφίαν τοῦ Θυ ἐνοικῆσαι εἰς αὐτὸν εἶπε. με΄
Μανιχαῖοι· ἀπὸ τῆς Περσίδος οὗτος κατὰ τῆς ἐκκλησίας
ἀνεφάνη, Μάνης λεγόμενος· δύο φησὶν ἀρχάς.
ἀγαθήν τε καὶ κακὴν εἶναι· τὸν νομοθέτην ἐν τῷ
Ἰηλ γεγονότα καὶ ποιητὴν πάντων ἀθετεῖ· ἄστρα
σέβεται. μς΄ Ἱερακῖται· ἐν Λεοντῷ τῇ κατ' Αἴγυπτον
Ἱέραξ τις λεγόμενος, ἐπειδὴ σαρκὸς ἀνάστασιν μὴ
ἐλπίζειν· γάμον ἠθέτει· κοσμικοὺς οὐκ ἐδέχετο·
τὰ παιδία εἰς τὴν Χυ βασιλείαν μὴ εἰσέρχεσθαι·
ἐπεὶ μὴ δὲ ἤθλησαν. μζ΄ Μελετιανοί· ἐν Αἰγύπτῳ
σχηματικός τις γέγονε Μελίτων· μὴ συνευξάμενος τοῖς
μετανοήσασιν ἀπὸ τοῦ διωγμοῦ, καὶ δεχθεὶς
παρὰ τῆς συνόδου καὶ Πέτρου τοῦ ἀποστόλου καὶ
μάρτυρος.

ΜΗ Ἀδαμιανοί· γυμνοὶ ἐν ταῖς εὐχαῖς
παρίστανται· ἄνδρες ὁμοῦ καὶ γυναῖκες τὸν
Ἀδὰμ καὶ τὴν Εὔαν, τὴν ἀπλοθητος μιμη-
νεύοντες· ΜΘ Μακαρισμῖται· τὴν μακαρίαν εἰς θείαν
οὐσίαν ἀνάγουσι· καί φασιν αὐτὴν εἰς οὐνὸν
ἀνειλῆφθαι· μνήμην αὐτῆς ἐν ἄρτου προθέσει ποιού-
μενοι· Ν Μασσαλιανοί· ἐργάζεσθαι οὐ βούλονται
ἀλλά φασιν εὐχαῖς ἐν ἀεὶ διατελεῖν, μὴ ἐργῶν ἀ-
γαπήσαντες. ΝΑ Ἀποστολικοί· περὶ τὴν πισιδίαν
οὗτοι γεγόνασιν· ἀποτακτικοὺς μόνους δέχονται·
μετ' οὐδενὸς ἑτέρου εὔχονται· ΝΒ Ἀρχοντικοί·
ἀρχὰς καὶ ἐξουσίας τινὰς ἀπαριθμοῦσι· καὶ ὑπὸ
ταύτας τιθέασι τὴν καθόλου διοίκησιν· Χν δὲ
εἰς τὴν τούτων τῆς διοικήσεως κρίσιν ἰέναι. ΝΓ
Ἀγγελικοί· μέγα πεφρονήκασιν οὗτοι· ὡς ἀγγελικὴν
ἰδίαν τάξιν ἔχοντες, καὶ τοῖς συντεταγμένοις· ΝΔ
Αὐδιανοί· σχίσμα γεγόνασι καὶ οὗτοι κοσμι-
κοῖς οὐ συνευχόμενοι· ῥάβδῳ διορύξαντες ἀφ'
ἑαυτῶν τὰς εὐχὰς τοὺς μὴ κοινωνικοὺς ἀπὸ
τῶν ἀποκρύφοις βιβλίοις κέχρηνται· καὶ παρα-
δόσεσι ξένας τισὶ τοῦ ἐξάρχου αὐτῶν. ΝΕ Μαρ-
κελλιανοί· μαρκέλλιος τις ἐν ἀγκύρᾳ γεγόνει·
τὴν σαβελλίου δόξαν φρονῶν· ἀνυπόστατον τὸν τοῦ
Θεοῦ λόγον καὶ τὸ ἅγιον πνεῦμα νομίσας. ΝΣ Ἀρειανοί·
ἄρειος τις γέγονεν ἐν ἀλεξανδρείᾳ, τὸν υἱὸν τοῦ Θεοῦ
κτιστὸν· καὶ ἐξ οὐκ ὄντων γεγονέναι δοξάσας. ΝΖ Ἡμι-
άρειοι· ἐξ ἀρειανῶν οὗτοι ἀπεσχίσαν, ὁμοιούσιον τῷ Θεῷ φά-
σκοντες τὸν υἱόν· τῶν ἀρειανῶν μόνον τὸ ὅμοιον εἶ-
ναι αὐτὸν λεγόντων. ΝΗ Φωτεινιανοί· φωτεινὸς τις
γέγονεν ἐν τῷ σερμιῷ τὰ παύλου τοῦ σαμοσατέως
δοξάζουσιν ἄνθρωπον θεόφορον εἶναι λέγων τὸν Χν. ΝΘ
Ἀετιανοί· ἀέτιος τις κίλιξ τὸ γένος· τῶν ἀρειανῶν
χωρισθεὶς, ὅμοιον λέγων τῷ πρὶ τὸν υἱὸν ἀνό-
μοιον αὐτῷ εἶναι εἶπεν· εὐνόμιος δὲ προσέστη μετ'
αὐτοῦ ταύτης τῆς αἱρέσεως· ὅθεν καὶ εὐνομιανοί

τὴν ἀπὸ τῆς σάῤῥας οὖσαν ἐξ αὐτῆς ἐπωνυμίαν·
νεώτερον, τὸ ἰσραηλιτικὸν ἀπὸ τοῦ ἰηλ ὅ ἐστιν ἰακὼβ·
ἐπικληθεὶς δὲ ἰηλ ὠνομασμένος· Καὶ ἀπὸ Χεττούρας
ἔθνη γεγόνασι τοῦ ἀβραὰμ γ΄· τὸ σαβᾶ ὅ ἐστι τὸ αἰθιόπων·
καὶ τὸ μαδιανιτῶν οἵ εἰσιν οἱ πρὸς τοῖς αἰθίοψιν·
οἱ ἐξωτάτω καὶ οἱ τούτοις προσοικοῦσι· καὶ τὸ δεδανιτῶν,
ἔθνος δέ ἐστι τοῦτο ἐξ οὗ καὶ ἰοθὼρ ὁ τοῦ μωϋσέως γαμβρὸς
καὶ οἱ φαρανῖται τὴν κατοίκησιν ἔχοντες καὶ ἄγοντες πρὸς
τῇ ἐρυθρᾷ θαλάσσῃ· ἀλλὰ καὶ ἡ συρία δαμασκὸς δέ ἐστιν αὕτη,
τὸ ἔθνος αὐτῶν λελόγισται· ἐκ γὰρ τοῦ οἰκογενοῦς αὐτοῦ τοῦ ἐλιέζερ
ἐξ ὅπερ ὁ δαμασκὸς τίκτεται, καὶ αὕτη συνίσταται· Ἀπὸ
δὲ τοῦ ἠσαῦ ὃς [illegible] τῶ ἀβραὰμ γεγονὼς εἰ τὸ ἔκγονος
ἰδουμαίων ἕτερον ἔθνος ἀναφαίνεται· ὃ καὶ ἐδὼμ προσαγορεύεται·
οὐκ ἐξωθεῖ δὲ τῶν ἐξ αὐτῶν φύντων ἐθνῶν, οὐδὲ τὸ μωαβιτῶν
καὶ ἀμμανιτῶν ἔθνος ἀπαριθμεῖται· ἐκ γὰρ τοῦ λὼτ οὗτοι
γενόμενοι· ὃς ἦν ἀδελφοῦ πρὸς αὐτοῦ υἱός· αὐτῷ πάλιν ἐπιγράφονται·

**Τίνα ἐστὶν ἃ προεφήτευσε ὁ ἀπόστολος παῦλος·** ρμζ

Ὅσοι θέλουσιν εὐσεβῶς ζῆν, διωχθήσονται· καὶ ὡς οὐκ ἀνέξονται — II Timoth. III, 12.
τῆς ὑγιοῦς διδασκαλίας οἱ πολλοί· ἀποστήσονται δὲ — II Timoth. IV, 3.
τῇ πίστει πονηροὶ ἄνοι καὶ γόητες πλανῶντες καὶ — II Timoth. III, 13.
πλανώμενοι· ἔχοντες τὴν μόρφωσιν τῆς εὐσεβείας·
τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· καὶ ὅτι χρὴ τὴν ἀπὸ — II Timoth. III, 5.
τῆς πίστεως ἀποστασίαν πρῶτον ἐλθεῖν, καὶ τότε ἀποκαλυφθῆναι — II. Thessal. II, 3, 8.
τὸν υἱὸν τῆς ἀνομίας τὸν ἀντίχριστον· ὃν ὁ κς ἀνελεῖ τῷ πνι
τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς δόξης αὐτοῦ·
καὶ ὅτι τῆς κλήσεως τῶν ἐθνῶν πληρουμένης, τότε καὶ ὁ ἰηλ — Rom. XI, 25, 26.
τῆς κλήσεως τῆς σρίν τεύξηται.

**Τίνα ἐστὶν ἃ προεφήτευσεν ἰωάννης ὁ εὐαγγελιστής·** ρμη

ὡς ἀποστήσονται πολλοὶ τῆς πίστεως προεγνωσμένοι παρὰ τῷ θῷ,
μὴ εἶναι τῆς πίστεως· ὡς ὁ ἀντίχριστος ἐλεύσεται ἀντιχρίστων· καὶ
τῶν νῦν αἱρετικῶν παρ' αὐτοῦ κεκλημένων· οἳ καὶ εἰσὶν οὗτοι πολλοί·
καὶ ἐν τῇ ἀποκαλύψει αὐτοῦ, περὶ ἑπτὰ πληγῶν ὑπερχομένων τῷ κόσμῳ·
πρὸ τῆς τοῦ χυ παρουσίας ἀκήκοε· καὶ ὡς ἡ ἐκκλησία ὑπὸ τοῦ
δράκοντος ὅ ἐστιν ὁ διάβολος εἰς τὴν ἐρημίαν ἐκδιωχθή-
σεται· ποταμὸν ἐπιφέροντος αὐτῇ ἐκ τοῦ στόματος αὐτοῦ
ἐπικλύζοντος αὐτήν· ὃ καὶ ἔστιν ἐκ τῆς αἱρέσεως· καὶ
τοῦ ἀντιχρίστου καὶ αὐτῆς ὁρμῆ· καὶ ὡς ὁ κς ἀθρόως
ἥξει μετὰ τῆς οὐνίου στρατιᾶς αὐτοῦ, τὴν ἀναίρεσιν τῆς
δυσσεβείας ποιούμενος, καὶ τὴν βασιλείαν τοῖς ἁγίοις
τὴν αἰώνιον ἀποδιδούς.

**Πόσοι χρόνοι εἰσὶν ἀπὸ γενέσεως κόσμου ἕως οὗ παραγέγονεν ὁ Χς·** ρμθ

κατὰ τὸν παῦλον· ἕνδεκα· εἰς τὸ ὄρος ἐν τῇ γαλιλαίᾳ ὅ
ἐτάξατο αὐτοῖς ὁ κς· κατὰ τὸν ματθαῖον· δέκατον, εἰς
τὸ ὄρος τῶν ἐλαιῶν εἰς τὸν οὐρανὸν ἀνερχόμενος.

ρνβ ΠΟΣΑΚΙΣ ΜΕΤΑ ΤΗΝ ΕΙΣ ΟΥΡΑΝΟΥΣ ΕΠΑΝΟΔΟΝ Ὁ ΚΣ ΤΟΙΣ ἸΔΙΟΙΣ ὬΦΘΗ ΜΑΘΗΤΑΙΣ· πρῶτον στεφάνῳ τῷ πρωτομάρτυρι ἀναιρουμένῳ ὑπὸ
τῶν ἰουδαίων, τῶν οὐρανῶν ἀνοιχθέντων· δεύτερον, παύλῳ
εἰσιόντι εἰς δαμασκόν· ἐν ᾧ τοὺς ἁγίους δεσμίους ἤθελεν
ἄγειν· τρίτον. τῷ παύλῳ εἰς τὴν ἱλημ ὅτε ἐπιφανεὶς
αὐτῷ ἔφη· μὴ φοβοῦ παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ
περὶ ἐμοῦ εἰς ἱλημ, οὕτως σε δεῖ καὶ εἰς ῥώμην μαρ-
τυρῆσαι. τέταρτον. ἰακώβῳ τῷ δικαίῳ, ὡς ἡγήσι-
ππος καὶ κλήμης ἱστοροῦσιν ἀναχθέντι ὑπὸ τῶν ἰουδαί-
ων εἰς τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα εἴπῃ τίς ἡ θύρα τοῦ ἰυ.

Act. XXIII, 11. Θάρσει π· τὰ περὶ ἐ· ἴλημ

ρνγ ΠΟΙΑ ΕἼΔΩΛΑ ἘΣΕΒΑΣΘΗ Ὁ ΛΑΟΣ, ΤῸΝ ΘΝ ΚΑΤΑΛΕΙΨΑΣ·
πρῶτον, τὸν βοῦν χωνευτόν, ὃ ἐν τῇ ἐρήμῳ ἀαρὼν ἐποίησε· δεύτε-
ρον· τελεσθεὶς τῷ βεελφεγώρ, εἰδώλῳ μαδιανιτῶν· ἐπει-
τα τῷ φεγὼρ βδελύγματι τῶν ἰουδαίων τῇ βαὰλ καὶ
ταῖς ἀστάρταις θεαῖς σιδωνίων. τὸ δαγὼν καὶ τῇ μυῖᾳ θε-
οῖς· ἀκκαρωνιτῶν, μολώχ· τὸ χαμὼς εἰδώλῳ μωάβ·
καὶ τὸν θαμμοὺζ ὡς, ἐστιν ὁ ἀδωνιάσης· ἐθρήνουν αἱ γυναῖ-
κες ἐν τῷ ναῷ, καὶ τοῖς οἴκοις [illegible] αὐτῶν ἐσεβάσθησαν
καὶ τὸν ἥλιον ἐν τοῖς βουνοῖς καὶ τοῖς δάσεσι θύοντες αὐτῷ.
ἄχαζ δὲ ὁ τῆς ἰούδα βασιλεὺς καὶ τοῖς δαμασκοῦ θεοῖς
ἐλάτρευσε· μαντείαις δὲ καὶ κληδονισμοῖς, καὶ ἐγγαστριμύ-
θοις καὶ γλυπτοῖς. καὶ βωμοὺς τοῖς δαίμοσιν ἐν τῷ ναῷ εἰς
τὴν ἱλημ ἔστησε· καὶ ἐν πυρὶ διῆγε τὰ τέκνα αὐτοῦ. ὁ δὲ
ἰηλ ἀποστὰς τῆς ἱλημ ταῖς δαμάλεσιν αἷς ἔστησεν ὁ ἱερο-
βοὰμ ἐν τῇ βεθὴλ καὶ ἐν τῇ δάν, ἐλάτρευεν.

ρνδ ΤΙΝΕΣ ΒΕΒΑΙΟΤΑΤΑΙΣ ΦΙΛΙΑΙΣ ἘΧΡΗΣΑΝΤΟ·
Δαδ ὁ βασιλεὺς καὶ ἰωνάθαν ὁ τοῦ σαοὺλ υἱός· ὁ ἀβεσσαλὼμ
καὶ ἰακὼβ· ἀχαὰβ ὁ τοῦ ἰηλ βασιλεὺς· καὶ ἰωσαφὰτ ὁ τῆς ἰούδα.

ρνε ΤΙΣ ΜΕΤΕΒΑΛΕΝ ΕἸΣ ΘΗΡΙΟΝ ΤΗΝ ΨΥΧΗΝ·
ναβουχοδονόσορ ὁ βαβυλώνιος· τιμωρηθεὶς ἐπ' ἀλαζονεί-
ᾳ ἐπὶ ἔτη ζ· μετὰ ἐκ δικαίου καὶ ἀγαθοῦ τρόπου, διὰ φθό-
νον τὸν κατὰ τοῦ δαδ εἰς ἄδικον καὶ φαῦλον μετέβαλε
τρόπον· ἰούδας κληθεὶς εἰς μαθητείαν, καὶ διὰ φιλαργυ-
ρίαν προδότης γενόμενος· νικόλαος εἷς τῶν ζ διακό-
νων γεγονώς, καὶ εἰς αἵρεσιν ἐκτραπείς.

ρνς ΤΙΝΕΣ ἘΚ ΦΑΥΛΩΝ ἈΓΑΘΟΙ ΓΕΓΟΝΑΣΙ·
ματθαῖος ἐκ τελώνου ἀπόστολος καὶ εὐαγγελιστὴς γε-
νόμενος· ζακχαῖος καταλείψας τὸ τελωνεῖον, καὶ τὰς
δικαίας ἑαυτὸν τετραπλάσια ἃ ἠδίκησε, καὶ οἶκον τὸν κν
δεξάμενος· παῦλος ἐκ διώκτου κῆρυξ τῆς πίστεως γενόμενος.

ρνζ ΤΙΣ ΜΑΚΡΟΒΙΟΣ ΜΕΤΑ ΜΩΫΣΕΑ ἘΓΕΝΕΤΟ·

τίνα ἐστὶν ἃ μὴ χρὴ ζητεῖν· ὅτι καὶ ἀκατάληπτα· ρκη



Τὴν πρὸ τῆς γενέσεως τῆς ἀβύσσου περὶ τῆς νοερᾶς οὐσίας· πρότερον ὑπὲρ ἄνω τῶν οὐρανῶν ἐστὶν ἔνθα τὰ ὕδατα ἐναπελείφθη τῆς ἀβύσσου τὰ μεταδιακριθέντα ἐπὶ τῆς γῆς ἢ ὑπὸ τὴν γῆν. ἢ ἐν αἰθερίῳ τὸ ὑπὸ τὸν οὐρανόν. ὢν γὰρ ἡ οὐσία καὶ πρὸ τῆς διακοσμήσεως. καὶ πρὸ τῆς ἀβύσσου τὴν ὑπόστασιν εἶχε τόπου τινὸς οὐκ ἐπινοουμένου τὸ τηνικαῦτα ἐν ᾧ τὴν μονὴν εἶχε, τούτων τὴν ~~[illegible]~~ μονὴν, οὐδὲ μετὰ τὴν γεῦσιν τοῦδε τοῦ παντὸς ζητέον ἢ μόνον ὅτιπερ τῷ ποιητῇ θεῷ παρεστήκει· ~~περὶ~~ τοῦ ὑπὸ γῆν ὕδατος οὐ πέρας οὐ προσήκει ζητεῖν· ἀλλ' εἴτε μετέωρον ἀνήρτηται δυνάμει θεοῦ κατὰ τοῦ κρημνοῦ· τὴν γὰρ γῆν ἐπ' οὐδενὶ εἴτε ἐπὶ στερεοῦ φέρεται· κατὰ τὸ ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς· εἴτε ἐπ' ἀπείρων ὑδάτων ἐστὶ, κατὰ τὸ, ἄβυσσος ὡς ἱματίῳ ἑλίξεις αὐτήν· παραιτέον τὴν περὶ τῶν βαθυτέρων ἔρευναν τῷ σοφῷ πειθομένους λόγῳ· τὸ αὐτὸ καὶ περὶ τοῦ συμπεράσματος τῶν ὑδάτων τῶν ὑπεράνω τῶν οὐρανῶν βαθὺ τὸ ζητεῖν· ὡς γὰρ τοῦ ὑπὸ τὴν γῆν τέλους ἀνεύρητος ἡ ἔρευνα, οὕτω καὶ ἡ ζήτησις· ἄρρητα ἀκηκοέναι ῥήματα ὁ ἀπόστολος ἁρπαγεὶς ἕως τρίτου ~~οὐρανοῦ~~ οὐρανοῦ ἔφη· οὐδὲ ταῦτα τίνα ἐστὶ χρὴ ζητεῖν· ἃ γὰρ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, καὶ αὐτὸς ὁ ἀπόστολος ἔφη· ἰωάννης εἶπεν· ἃ ὀφθαλμὸς οὐκ ἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· πῶς καὶ ταῦτα, νοῆσαι τις οἷός τε εἴη· ἃ μήτε αἰσθήσει μήτε νοήσει ὑποπίπτειν δυνατόν· τὸ διάστημα τὸ πρὸ τῆς τοῦ φωτὸς γενέσεως τῶν χρόνων μυρίων οὐκ

ὄντων, οὐ καταληπτόν, μόνῳ θεῷ ἐγνωσμένον. ταῦ-
τὸ καὶ τὸ κατὰ τὴν ἐσομένην τοῦ κόσμου συναίρεσιν,
ἕως ἀναδείξεως τῆς καινῆς κτίσεως ἐννοούμενον. αἱ νο-
εραὶ οὐσίαι τὰ αἰσθητὰ καὶ σωματικὰ πῶς ὁρῶσι
κρείττους αἰσθήσεως οὖσαι τοῦ θεοῦ, τὴν ὀφθαλμοφα-
νῆ θέαν ἀοράτου τὴν φύσιν ὄντος. θεὸν γάρ φησιν
οὐδεὶς ἑώρακε πώποτε. τὸ γὰρ μόνῃ καθαρᾷ
καρδίᾳ θεώμενον, αἰσθητοῖς ὀφθαλμοῖς ὁρᾶσθαι πῶς
οἴονται. δυσκαταλήπτοις καὶ ἡ τοῦ ἰσραὴλ σω-
ματικὴ εὐλογία. ἐν δὲ ψυχαῖς τοῦ ἰακὼβ
κατελθόντος εἰς αἴγυπτον. καὶ κατὰ τετάρτην γε-
νεὰν ἐν ξ μυριάσιν ἀνδρῶν ἐξεληλυθότος. πε-
ρὶ γὰρ τῆς ἡμέρας τῆς παρουσίας τοῦ κυρίου, καὶ αὐ-
τὸς ὁ κύριος ἀπέδειξεν. οὐχ ὑμῶν γάρ ἐστι χρό-
νους ἢ καιροὺς εἰδέναι. πρὸς τοὺς ἀποστόλους ἔφη.
οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

ρκθ. Ὅσα δι' ἐνυπνίων τισὶν ἐμπεφάνισται.

Ὁ ἰακὼβ κλίμακα ὁρᾷ εἰς οὐρανὸν ἀπὸ γῆς
διήκουσαν. ἰωσὴφ τὰς τῶν ἀδελφῶν δράγματα, τὸ
αὐτοῦ προσκυνοῦντα δράγμα. καὶ τοὺς ἀστέρας πά-
λιν καὶ τὸν ἥλιον καὶ τὴν σελήνην ποιοῦντας τὸ αὐτό.
οἱ ἐν αἰγύπτῳ μετὰ τοῦ ἰωσὴφ καθειργμένοι. ὁ
μὲν ἀπολυόμενος τοὺς τρεῖς βότρυας ἐκθλίβων,
καὶ τὸν οἶνον ἐπιδιδοὺς τῷ βασιλεῖ. ὁ δὲ κολαζό-
μενος τοὺς ἐπὶ τοῦ κανοῦ τρεῖς φέρων ἀπὸ τῶν
ὀρνέων ἐσθιομένους ἄρτους. ὁ φαραὼ τοὺς ἑπτὰ
λιπαροὺς βόας καὶ στάχυας εὐτραφεῖς ζ. καὶ πά-
λιν κατισχνωμένους βόας ζ καὶ τοσούτους στά-
χυας. ὁ δὲ κυλιομένην κριθίνην μαγιδαλίδα

θεώμενος· Μαδιανίτης ἐπὶ τοῦ Γεδεὼν καὶ
τὴν σκηνὴν καταστρέψασαν τὴν τοῦ Μαδιάμ. Να-
βουχοδονόσορ τὸν ἀνδριάντα θεώμενος τὸν πολύ-
ϋλον ὑπὸ τοῦ λίθου συντριβόμενον τοῦ ἄνευ
χειρῶν ἐπ᾽ αὐτὸν ἐξ ὄρους καταβάντος. καὶ πά-
λιν τὸ ὑψηλότατον δένδρον τὸ ἐκτέμνεσθαι κελευ-
όμενον. καὶ μεθ᾽ ἑπτὰ βλαστάνον ἐνιαυτοὺς ὁ Δανιὴλ
περὶ τῶν ἀνισταμένων καὶ καθαιρεμένων. ὁ ἐν μορ-
φαῖς θηρίων βασιλειῶν. καὶ περὶ τῆς τελευταίας βα-
σιλείας ~~τῆς καθαιρεμένης τοῦ ἀντιχρίστου, κέρατος~~
~~βραχυτάτου φανέντος αὐτῷ. καὶ περὶ τῆς ἐξ οὐρανῶν~~
~~ἤκουσεν αἰωνίου χριστοῦ βασιλείας~~ τῆς καθαιρεμέ-
νης τοῦ ἀντιχρίστου. κέρατος βραχυτάτου φανέντος
αὐτῷ, καὶ περὶ τῆς ἐξ οὐρανῶν ἤκουσεν αἰωνίου χριστοῦ
βασιλείας. ὁ ἀπόστολος ἀκούων τοῦ κυρίου λέγον-
τος αὐτῷ. θάρσει Παῦλε. ἀκούων ὡς γὰρ διε-
μαρτύρω περὶ ἐμοῦ εἰς τὴν Ἱερουσαλήμ, οὕτως σε δεῖ
καὶ εἰς Ῥώμην μαρτυρῆσαι. καὶ χειμαζόμενος ἐν
τῷ πλεῖν, ἄγγελον ὁρᾷ καθ᾽ ὕπνους αὐτῷ λέ-
γοντα. ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς
πλέοντας μετὰ σοῦ.

Τὴν τῶν βασιλειῶν βίβλον τίς κατέγραψε. ἑλ.

Τοῦ μὲν Σαοὺλ τὰς πράξεις Σαμουὴλ ὁ προφήτης
ἀναγραψάμενος, ἔθηκεν ἐπὶ τῆς σκηνῆς· τοῦ δὲ
Δαβὶδ τὰς προτέρας μὲν ὁ αὐτὸς Σαμουήλ. Γὰδ
δὲ καὶ Νάθαν οἱ προφῆται, τὰς μετὰ ταῦτα.
τοῦ δὲ Σαλομῶντος, τὰς μὲν προτέρας πράξεις Νάθαν
ἀνεγράψατο. τὰς δὲ μετέπειτα, Ἀχίας ὁ Σιλω-
νίτης καὶ Ἰωήλ. τοῦ δὲ Ῥοβοάμ, Σαμαίας καὶ

ἰαδών· τοῦ δὲ ἀβιά, ἀδὼν καὶ τοῦ ἀσά· τοῦ δὲ ἰω-
σαφάτ, ἰησοῦς ὁ τοῦ ἀνανί· οὗτος δὲ ὁ ἰησοῦς ἑ-
κάστας τῶν βασιλέων τοῦ ἰσραὴλ ἀναζητήσας πρά-
ξεις, ἀνεγράψατο· τῶν δὲ ἑξῆς βασιλέων τοῦ ἰού-
δα, τοῦ ἰωρὰμ καὶ τοῦ ὀχοζίου καὶ ἰὰς καὶ ἀμασίου,
θέλονε τῶν πράξεων ἀναγραφῆ καὶ ἀπέκειτο ἐν
τοῖς βασιλείοις· ὀζίου δὲ καὶ ἰωάθαν καὶ ἄχαζ καὶ
ἐζεκίου, οὐ μόνον δημόσιος τὰς πράξεις συνέγρ-
αψε βίβλους, ἀλλὰ καὶ ἠσαΐας ὁ προφήτης αὐ-
τὰς ἀνεγράψατο· τοῦ δὲ μανασσῆ, οἱ ὁρῶντες
οἵτινές εἰσιν οἱ τότε προφῆται τὰς δυσσε-
βεῖς ἀνεγράψαντο πράξεις, καὶ ἐν τοῖς βασι-
λείοις ἀπέθεντο· ἀμασίου δὲ καὶ ἰωσίου καὶ ἰω-
ακεὶμ, ἀναγραφαὶ δημόσιοι γεγόνησαν τῶν πρά-
ξεων καὶ ἐν τοῖς βασιλείοις ὁμοίως ἀνετέθει-
σαν· ἰεχωνίου δὲ καὶ σεδεκίου ἐφ' ὧν καὶ ὁ λα-
ὸς εἰς αἰχμαλωσίαν ἀπήχθη· καὶ ὁ ναὸς
ἡλώ· καὶ ἡ βασιλεία κατηνέχθη· ἱερεμίας ὁ
προφήτης τοὺς οἴκους ἀνεγράψατο βίους· ὁ-
μοῦ δὲ τῶν βασιλέων τὰς πράξεις, καὶ τὰ τέλη,
ἔσδρας ὁ σοφὸς ἐν τῇ ἐπανόδῳ γενόμενος τοῦ
λαοῦ τῇ ἀπὸ τῆς αἰχμαλωσίας ἀπομνημονεύσας
ἅπασαν τὴν βίβλον τῶν βασιλέων, τῶν τε ἀσε-
βῶς βιωσάντων τὰς πράξεις. Μετὰ δὲ ταῦτα
ἐπαλνεὺς τινὰ ἐστὶ τὰ παραλειφθέντα αὐτῷ
ἐν τῇ βασιλειῶν βίβλῳ, ἰδία ταῦτα πάλιν
ἀνενέγκας ἐξέθετο· ἐπείπερ ἡ προτέρα βί-
βλος ἡ ἐκδοθεῖσα περὶ πολλῶν ἐξέλειπτο.

ἥν τινα βίβλον ἐν δυσὶ τόμοις ἔγραψαν.
ἰουδαῖοι μὲν λόγοι ἡμερῶν· ἡ δὲ ἐκκλησία πα-
ραλειπομένων βίβλον ἐπέγραψεν.

ρλα

Τίνα παραβολικῶς καὶ αἰνιγματωδῶς
ἐν ταῖς γραφαῖς εἴρηται.

Ὁ γεδεὼν τοῖς ἀπὸ τῆς τοῦ ἐφραὶμ φυλῆς ἀ-
γανακτοῦσιν αὐτῷ ὅτι μὴ κέκληκεν αὐτοὺς
εἰς τὸν κατὰ μαδιανιτῶν πόλεμον, φησίν· οὐχὶ
κρεῖττον ἐπιφυλλὶς ἐφραὶμ, ἢ τρυγητὸς
ἀβιέζερ· ἰωάθαμ ὁ τοῦ γεδεὼν υἱὸς πρὸς τοὺς
σικιμίτας ἑλομένους τὸν φονέα γενόμενον τῶν ο΄
αὐτοῦ ἀδελφῶν βασιλεύειν αὐτὸν, τὸν ἀβιμέλεχ
ἔφη· πορευόμενα ἐπορεύθη τὰ ξύλα τοῦ χρῖσαι
ἐφ' ἑαυτὰ βασιλέα· καὶ εἶπε τῇ ἐλαίᾳ, βα-
σίλευσον ἐφ' ἡμᾶς· καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία,
ἀφεῖσα τὴν πιότητά μου ἣν ἐδόξασεν ὁ θεὸς καὶ
ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων· καὶ εἶπον
πάντα τὰ ξύλα τῇ συκῇ· δεῦρο βασίλευσον
ἐφ' ἡμᾶς· καὶ εἶπεν ἡ συκή· ἀφεῖσα τὴν γλυ-
κύτητά μου καὶ τὸ γένημά μου τὸ ἀγαθὸν, πο-
ρευθῶ ἄρχειν ξύλων· καὶ εἶπον τὰ ξύλα τῇ
ἀμπέλῳ· δεῦρο καὶ βασίλευσον ἐφ' ἡμᾶς· καὶ
εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφεῖσα τὸν οἶνόν μου
καὶ τὴν ~~εὐφροσύνην~~ εὐφροσύνην τῶν ἀνθρώπων,
πορευθῶ ἄρχειν ξύλων· καὶ εἶπον τὰ ξύλα
τῇ ῥάμνῳ· δεῦρο βασίλευσον ἐφ' ἡμᾶς· καὶ
εἶπεν ἡ ῥάμνος τοῖς ξύλοις· εἰ ἐν ἀληθείᾳ

ὑμεῖς χρίετέ με βασιλέα ἐφ' ὑμᾶς, εἰσέλθετε καὶ
ὑποδύσατε ὑπὸ τὴν σκέπην μου· καὶ εἰ μὴ ἐξ-
έλθῃ πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγοι τὰς κέδρους
τοῦ λιβάνου. Σαμψὼν εἰς τὸ μελίκηριον ὃ εὗ-
ρεν ἐν τῷ στόματι οὗ ἀπέκτεινε λέοντα καὶ ἔφαγε·
πρόβλημα ποιήσας ἔφησεν, ἐκ στόματος ἐσθίοντος
ἐξῆλθε βρῶσις, καὶ ἐξ ἰσχυροῦ γλυκύ· καὶ ὁ δαβὶδ
πρὸς τὸν σαοὺλ φησί· δικάσαι κύριος ἀναμέ-
σον ἐμοῦ καὶ σοῦ, καὶ ἐκδικήσαι κύριος ἐκ σοῦ, καὶ ἡ
χείρ μου οὐκ ἔσται ἐπὶ σέ· καθὼς λέγει ἡ παραβολή·
ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια. ὁ ἀχαὰβ πρὸς
τὸν σύρων βασιλέα ἀπειλοῦντα αὐτῷ πᾶσαν τὴν τοῦ
ἰσραὴλ βασιλείαν ἀναιρεῖν, φησί· μὴ καυχάσθω
ὁ περιζωννύμενος ὡς ὁ ἀποζωννύμενος. ἰωὰς ὁ
τοῦ ἰσραὴλ βασιλεὺς, ἀμεσίᾳ τῷ τοῦ ἰούδα βασιλεῖ
φιλίαν ἀσπαζομένῳ πρὸς αὐτὸν ἀλαζονευόμενος αὐτὸν,
καὶ ὑπερορῶν αὐτοῦ τοῦ τὴν σύνταξιν, δηλοῖ πρὸς αὐτόν.
ἡ ἄκανθος ἐλάλησε πρὸς τὴν κέδρον τοῦ λιβάνου λέγουσα,
δὸς τὴν θυγατέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα· καὶ διῆλ-
θε τὰ θηρία τοῦ ἀγροῦ ἐν τῷ λιβάνῳ, καὶ κατεπάτη-
σαν τὴν ἄκανθον. τύπτων ἐπάταξας τὴν ἰδουμαίαν, καὶ ἐπ-
ῆρέ σε ἡ καρδία σου. ὁ δὲ σαλομὼν πᾶσαν αὐτοῦ
τὴν βίβλον τὴν πρώτην, διὰ παραβολῶν ἐξήνεγκε.

ρλβ. Τίνες εἰσὶν αἱ ὑπὸ τοῦ κυρίου παρα-
βολαὶ ῥηθεῖσαι.

Περὶ τῆς νέας χάριτος, ὡς μὴ δεῖν ἐπὶ παλαιῷ
ἱματίῳ καινὸν ῥάκκος ἐπιρράπτειν· ἀσκοῖς παλαι-
οῖς μὴ δεῖν νέον οἶνον ἐμβάλλειν· τοὺς ἀποστέλλων
ὡς πρόβατα ἐν μέσῳ λύκων ἀποστέλλειν· ἔφησε

τὸ κήρυγμα σπέρματι παραβέβληκεν· εἰς
μὲν καλὴν γῆν καταβαλλομένῳ, καὶ ἐν ρ' καὶ ξ' καὶ λ'
καρποφοροῦντι· ἐν δὲ πέτρᾳ καὶ φραγμῷ καὶ ἀβαθεῖ
γῇ, τὸ ἄκαρπον εἶναι ἀπελέγχεσθαι· ζιζανίοις ἐπι-
σπειρομένοις τοὺς τῶν αἱρέσεων λόγους τῷ ἀγαθῷ σπέρ-
ματι τῷ παρ' αὐτοῦ σπαρέντι ἐπὶ τῆς γῆς· σινήπι
δὲ τὸν τοῦ κηρύγματος λόγον ὑπερτέρῳ τῶν ἀνθρωπίνων
τυγχάνοντι, καὶ τὴν αὔξησιν δογμάτων· καὶ ζύμῃ παρα-
βέβληται εἰς ἀλεύρου σάτα τρία ἐμβληθείσῃ· θησαυρῷ κε-
κρυμμένῳ ἐν τῇ γῇ καὶ πάντων ἀπεμπολουμένων εἰς τὴν
τούτου κτῆσιν· μαργαρίτῃ τιμίῳ προτιμωμένῳ τῶν ἤδη κτη-
θέντων· πλουσίῳ κεκτημένῳ ἐν τῷ ταμείῳ αὐτοῦ καινὰ
καὶ παλαιά· τῆς νέας καὶ παρ' Ἑβραίοις διαθήκης τὴν ἐπί-
γνωσιν, ἀλώπηξι τὴν Ἡρώδου πονηρίαν ὑποβαλλούσῃ, ὡς
οὐ τὸ εἰσερχόμενον ὅ ἐστιν αἱ τῆς κακίας ἔννοιαι καὶ λόγοι.
ἡ τῶν Φαρισαίων ζύμη τοῦτ' ἔστιν ἡ πονηρία ἡ καὶ τοὺς ἄλλους
κακίζουσα· ἡ τῶν παιδίων παράδειξις πρὸς τὸ ἁπλοῦν τῶν
σωζομένων τρόπον· ἡ τοῦ ἀπολωλότος ἑνὸς προβάτου ζήτη-
σις, τὴν τοῦ γένους τῶν ἀνθρώπων ὑποδεικνῦσα σωτη-
ρίαν· ἡ τοῦ τυχόντος πολλῶν πλημμελειῶν παρὰ τοῦ δεσπότου
τὴν ἄφεσιν, αὐτοῦ δὲ μὴ ἀφιέντος τοῖς συνδούλοις τὰς εἰς αὐτὸν μικρὰς
ἁμαρτίας· δούλων ἀποσταλέντων ἐπὶ τῇ τῶν καρπῶν λήψει τοῦ ἀμπελῶνος
καὶ ὑβρισθέντων καὶ φονευθέντων, καὶ τοῦ υἱοῦ εἰς τοῦτο ἐλθόντος, καὶ τὰ ἴσα
τῶν ἀγνωμόνων τοῖς δούλοις πεπονθότος· ἡ τῶν ἀπὸ πρώτης ὥρας καὶ τρί-
της καὶ ἕκτης καὶ ἐνάτης· καὶ πρὸς ἑσπέραν εἰς τὴν ἐργασίαν τοῦ ἀμπε-
λῶνος, ἐπίμισθον κομιζομένων· ἡ τῶν εἰς τοὺς γάμους κληθέντων καὶ
μὴ ἀπαντησάντων ἀποβολή, καὶ τῶν ἀντεισαχθέντων ἐκ διεξόδων καὶ τρι-
όδων κλῆσις· ἡ τοῦ μὴ πρεπόντως ἀπαντήσαντος εἰς τοὺς γάμους ἐκβο-
λή· ἡ τῶν δέκα παρθένων ἑτοίμως καὶ ἀνετοίμως ἀπάντησις· ἡ τῶν ἐνερ-
γῶν οἰκονόμων καὶ περισσάντων εἰς τὰ τοῦ δεσπότου χρήμα-
τα ἀπάντησις, καὶ διὰ τοῦτο τιμωμένων· καὶ ἡ τοῦ ἀργοῦ καὶ
ἀπόρου ἀτιμία· ἡ τῶν ἐκ δεξιῶν προβάτων καὶ τῶν ἐξ εὐωνύμων·
τῶν μὲν ἔνδοξος, τῶν δὲ ἐπ' ἀδοξίᾳ παράστασις· ἡ τοῦ ἐμπεσόντος εἰς

τοὺς λῃστάς, καὶ ὑπὸ σαμαρείτου ἐλεηθέντος· μὴ ἐλεηθέντος δὲ ὑπὸ φαρισαίου καὶ λευΐτου ὑπόδειξις· ἢ τοῦ ἐν νυκτὶ τὸν ἄρτον αἰτοῦντος διὰ τὴν παραμόνου ἐκλιπαρήσεως λῆψις· ἡ συκῆ ἡ διὰ τὴν ἀκαρπίαν μὴ ἐκτμηθεῖσα· ἀλλ' ἵνα καρπὸν ἀλλάξῃ ἐπὶ ὑποσχέσει μείνασα· ὁ κριτὴς ὁ ἀνευλαβὴς καὶ ἀναιδής· διὰ γοῦν τὸ ὀχλεῖσθαι τῆς προσοχλούσης χήρας ἀκούσας· ἢ τοῦ εὐγενοῦς ἐπὶ βασιλείας λήψει εἰς μακρὰν ἀποδημίαν, καὶ τῶν παραιτουμένων αὐτὸν ἐν τῇ τῆς βασιλείας λήψει ἀναίρεσις· ὁ ποιμὴν ὁ διὰ τῆς θύρας εἰσιὼν εἰς τὴν μάνδραν, καὶ τὰ πρόβατα κατ' ὄνομα καλῶν· καὶ ὁ μὴ διὰ τῆς θύρας ἀλλὰ ἀλλαχόθεν, κλέπτης ὢν ἐπιβαίνων.

ρλγ v. alibi.

ρλδ.

Πόσοι ἰάκωβοι ἐν τοῖς ἀποστόλοις γεγόνασιν.

Ἰάκωβος ὁ τοῦ ἰωάννου ἀδελφός, υἱὸς ζεβεδαίου ὃν καὶ ἀνεῖλεν ἡρώδης χαριζόμενος ἰουδαίοις· ἰάκωβος ὁ τοῦ ἀλφαίου· ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου ὁ καλούμενος δίκαιος· ὃς καὶ τῆς ἐν ἱερουσαλὴμ ἐκκλησίας πρῶτος προέστη.

ρλε.

Πόσοι ἰωάννοι εἰς τὸ κήρυγμα γεγόνασιν, καὶ πόσοι Ζαχαρίοι·

Ἰωάννης ὁ βαπτιστὴς ὃν ἡρώδης ἀπεκεφάλισεν, ὃς καὶ τὸ μαρτύριον ἐν τῇ παλαιστίνῃ εἶχε σεβαστόν· ἰωάννης ὁ τοῦ ζεβεδαίου υἱὸς ὁ εὐαγγελιστής· ὁ καὶ τὴν ἀποκάλυψιν θεασάμενος καὶ τὴν καθολικὴν ἀποστείλας· ὃς καὶ ἐν ἐφέσῳ τὸ μαρτύριον ἔχει· ἰωάννης ὁ ἐπικαλούμενος μάρκος ὁ πέτρου ἀκόλουθος καὶ τὸ εὐαγγέλιον γράψας· καὶ πρῶτος τῆς ἀλεξανδρέων μεγάλης ἐκκλησίας ἐπίσκοπος ἀναδειχθείς. Ζαχαρίοι δὲ δ' γεγόνασι· πρῶτος ὁ τοῦ ἰωδαὲ τοῦ ἀρχιερέως υἱός· ὃν ἀπέκτεινεν ἰωὰς ὁ βασιλεὺς ἀνὰ μέσον τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, β' ὁ τοῦ βαραχίου, οὗ μνήμην ὁ προφήτης ἠσαΐας ποιεῖται εἰς μαρτυρίαν αὐτὸν παραλαβὼν τοῦ τικτομένου παιδίου, καὶ ὁ προφήτης· καὶ ὁ πατὴρ ἰωάννου τοῦ βαπτιστοῦ.

15 (ιβ) Τίνες ἐν τοῖς ἀποστόλοις γυναῖκας ἔσχον.
Πέτρος· καὶ γὰρ θυγατέρα ἐκέκτητο. Φίλιππος
... γὰρ τέσσαρας ἔσχε θυγατέρας προφήτιδας· αἳ
κεκοίμηνται ἐν τῇ Ἀσίᾳ ἅγιαι παρθένοι. Παῦλος
καὶ ἐπιστέλλων φησίν· ναὶ σὺ σύζυγε προλαμ-
βοῦ ἀνδρός.

(ιγ) Τίνες εἰσὶν αἱ ὑπὸ τῶν ἀποστόλων μαρτυρίαι παραγενόμεναι. ὧν τὰς γραφὰς οὐκ ἔχομεν.

Ματθαῖος ἐπὶ τῇ οἰκήσει τοῦ Ἰωσὴφ ἀπὸ
τῆς ἐξ Αἰγύπτου ἀνόδου εἰς τὴν Ναζαρὲθ μετα-
...ζειν. ἐλθὼν δὲ ᾤκησε τὴν Ναζαρὲθ
ἵνα πληρωθῇ τὸ γεγραμμένον ὅτι Ναζωραῖος
κληθήσεται. Παῦλος ἐν τῇ πρὸς Ἐφεσίους
φησί· διὸ λέγει· ἔγειρε ὁ καθεύδων
καὶ ἐπιφαύσει σοι ὁ Χριστός. καὶ πάλιν γέ-
γραπται· ἐγένετο ὁ πρῶτος ἄνθρωπος εἰς
ψυχὴν ζῶσαν· ὁ δεύτερος εἰς πνεῦμα ζω-
οποιοῦν. καὶ τοῖς ἐν Μιλήτῳ πρεσβυτέροις
διαλεγόμενος φησί· μνημονεύετε μᾶλ-
λον ἢ λαμβάνειν.

(ιδ) (133.) Τίνων τῶν ἔξωθεν μαρτυριῶν ὁ ἀπόστολος Παῦλος μνήμην ποιεῖται. Ἀπολογούμενος
ἐν Ἀθήναις περὶ τοῦ κηρύγματος τοῦ λόγου
φησίν· ὡς καί τινες τῶν καθ' ὑμᾶς ποι-
ητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος ἐσμέν.

πάλιν γέγραπ.

καὶ τίτῳ γράφων ἐν τῇ κρήτῃ διάγοντι
φησίν· εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν
προφήτης· κρῆτες ἀεὶ ψεῦσται· κακὰ θη-
ρία· γαστέρες ἀργαί. Καὶ ὁ κύριος ἐ-
χρήσατο παραβολῇ τῇ ἔξωθεν εἰπὼν
πρὸς τοὺς ἐν ναζαρέθ. πάντως ἐρεῖτέ μοι
τὴν παραβολὴν ταύτην· ἰατρὲ θεράπευσον
σεαυτόν· καὶ τῇ ἐπιγραφῇ τῇ ἐν τῷ βωμῷ
τῷ ἐν ἀθήναις ὁ παῦλος ἐχρήσατο ἀγνώστῳ
θεῷ· ἐχρήσατο μαρτυρίᾳ. ὃν οὖν ἀγνο-
οῦντες εὐσεβεῖτε λέγων· τοῦτον ἐγὼ
καταγγέλλω ὑμῖν.

ξκβ (ννη.) ΤΙΝΕϹ ΕΙϹΙΝ ΟΙ ΤΑϹ ΙΕΡΑϹ
ΓΡΑΦΑϹ ΕΡΜΗΝΕΥϹΑΝΤΕϹ.

Πρῶτον ἐπὶ πτολεμαίου τοῦ φιλαδέλφου
ἐν ἀλεξανδρείᾳ οἱ οβ τῶν ἰουδαίων
σοφοί· ὑπὸ ἐλεαζάρου τοῦ ἀρχιερέως εἰς
τὸ ἑρμηνεῦσαι αὐτῷ τὰς γραφὰς ἀποστα-
λέντες. δεύτερος δὲ ἀκύλας ἑρμη-
νεύει ἐπὶ τοῦ βασιλέως ἀδριανοῦ γε-
γονώς· ὃς ἐξ ἑλλήνων ὤν· καὶ προσελθὼν
τῷ ἰουδαϊσμῷ· πονήσας περὶ τὴν ἑβραΐ-
δα· ἐπιγνούς τε ὡς οὐκ ἀκριβῶς ἡρμή-
νευσαν οἱ οβ σοφοί, τὸ μὴ τὴν ἑλλήνων φω-
νὴν ἀκριβοῦν ἡρμήνευσεν ἀκριβέστερον. τί-

τοῖς ἑρμηνεύει σύμμαχος ἐπὶ σευήρου
καὶ ἀντωνίνου τοῦ γέτα ἐπικεκλημένου γε-
νόμενος· τοῦτον φασὶ σαμαρείτην ὄντα,
καταγνῶντα αὐτὸν ἀπ' αὐτῶν ἀπεστά-
ναι· φιλοπονήσαντά τε περὶ τὰς ἑβραϊ-
κὰς γραφὰς ἐξενέγκαι αὐτῶν τὰς
ἑρμηνείας. τέταρτος ἑρμηνεύει θεο-
δοτίων ποντικὸς τὸ γένος· καὶ αἱρέ-
σει μαρκιωνιστής· ἔπειτα προσέθεις ἰου-
δαίοις. καὶ ζηλώσας τὰν ἑβραΐδα,
ἡρμήνευσε καὶ αὐτὰς τὰς γραφάς· ὃ
πάνυ τοῖς τῶν ο̅β̅ ἑρμηνείας πα-
ραλλάξας. πέμπτη δὲ ἔκδοσις εὑρέθη
ἐν ἱεριχῷ ἐν πίθοις χαλκοῖς κε-
κρυμμένη· οὐκ ἐπιγεγραμμένη τὸν
ἑρμηνέα. φασὶ δὲ αὐτὴν ὑπὸ γυ-
ναικὸς ἑρμηνευθῆναι· τὸ καὶ ἐν οἰκίᾳ
γυναικὸς ἐπιμελοῦς ἐν τοῖς ἱεροῖς λόγοις
εὑρῆσθαι τοὺς πίθους. ἕκτη δὲ ἄλλη
εὑρέθη ἐν νικοπόλει τῇ πρὸς ἀκτίοις·
μετὰ τὸν ὑπὲρ διωγμὸν ἐξ οὗ αἱ
ἑρμηνεῖαι τῶν γραφῶν εἰσὶ καὶ σώ-
ζονται.

ὁποία ἦν ἡ σκηνὴ ἡ ὑπὸ Μωϋσέως ἀνασταθεῖσα ρι
κατὰ τὴν ὑπόδειξιν ἣν ἐθεάσατο ἐν τῷ ὄρει·
περίβολος ἦν αἰθέριος μήκους πηχῶν ρ̄ πλάτους πηχῶν ν̄·
ἡ δὲ στάσις ἦν τοῦ περιβόλου ὀρθίοις κάμαξι περιβεβλημένη χαλκέοις·
πενταπήχεσι τὸ ὕψος εἴκοσι μὲν κατὰ τὸ μῆκος· δέκα
δὲ κατὰ τὸ πλάτος· κιονόκρανα δὲ ἀργύρεα καὶ βάσεις χαλκαῖ.
ἑκάστῳ κάμακι πεποίηντο· πέντε δὲ πήχεσιν ἀπ' ἀλλήλων
διεστήκασιν οἱ κάμακες, καταπεπηγμένοι· κρίκοι δὲ τοῖς
κάμαξι προσηλοῦντο πρὸς τὸ μῆκος καὶ τὸ πλάτος ἀποβλέ-
ποντες· καὶ τῶν κρίκων ἐξῆπτετο καλῴδια ἥλων χαλκῶν
πηχέων εἰς τὸ ἔδαφος καθηλωμένων ἐκδεδεμένα, πρὸς
τὸ τὴν σκηνὴν ἀκίνητον ὑπὸ τῆς τῶν ἀνέμων βίας διαφυλάττειν·
σινδόνες δὲ κατείχιζον τὴν σκηνὴν ἐκ βύσσου καὶ ὑακίνθου
καὶ πορφύρας καὶ κοκκίνου διυφασμέναι· ~~[illegible]~~ πενταπήχεις
βραχύτονοι ἀπὸ τοῦ κράνους μέχρι τῆς βάσεως· κατὰ μέσου
τῶν καμακίων ἕως ἐδάφους κεχυμέναι· καὶ αἱ μὲν
τρεῖς πλευραί, τοῦτον εἶχον τὸν τρόπον· ἡ δὲ τετάρτη
πλευρὰ ἦν καὶ πρώτη μᾶλλον τῆς εἰσόδου καλῶς εἶναι·
εἴσοδος γὰρ ἦν εἰς τὴν σκηνὴν αὕτη, πεντήκοντα
πήχεις ἔχουσα· πύλης μὲν εἰκασμένην μέσην· εἴκοσι
πηχέων εἶχεν εἴσοδον· δύο δὲ κάμακας ἑκάστη πλευρὰ
τῆς εἰσόδου καταπέπηκτο, παραστάδας ὥσπερ ἀποτελοῦσας·
καθ' ἑκάτερον δὲ τῆς εἰσόδου ἀνὰ δεκαπέντε πήχεις
[ἀ]πέμηνον ἑκάστου μέρους· τρεῖς κάμακας καταπεπηγμένου
καὶ ἐρμ... μένου κατὰ τὴν τῶν τριῶν τῶν ἄλλων
πλευρῶν ἐργασίαν καὶ περίφραξιν· τὸ δὲ μέσον
τῆς εἰσόδου, κατεπετέτατο τῷ τῶν κ̄ πηχῶν καταπε-
τάσματι τῷ τῶν τεσσάρων βαμμάτων, καθυφασμένω·
[ἔσ]ω δὲ τῆς εἰσόδου, λουτὴρ χάλκεος ἦν τὴν βάσιν χαλκέαν
ἔχων, ἐξ οὗ οἱ ἱερεῖς τὰς χεῖρας ἀποπλύνειν καὶ
τῶν ποδῶν καταχεῖν τοῦ ὕδατος τοῦ ἐν αὐτῷ παρῆν.
καὶ ὁ μὲν περίβολος οὕτως ἦν ὁ τοῦ αἰθρίου.

ὁποῖον ἦν τὸ ἁγίασμα τὸ μέσον τοῦ περιβόλου ρια
ὃ Μωϋσῆς κατεσκεύασε.

τὸ δὲ ἁγίασμα μέσον τοῦ περιβόλου, μῆκος ἔχον
[με]τὰ πήχεις λ̄· πλάτους πήχεις ῑ· πρὸς ἀνατολὰς βλέπον·
τὸ δὲ μῆκος τῶν λ̄· πηχῶν, ἐκκίοσιν ἵδρυτο κ̄· τετραγώνοις

ξυλίνοις καταχρύσοις· ἑκάστης πλευρᾶς ἑνὸς ἡμί-
σεος πήχεος ἀλλήλων ἀφεστηκόσιν· ὁ δὲ κατὰ
δύσιν τοῖχος πηχῶν τριῶν· ἐν ἓξ κίοσι συνέστηκε
συνῆσαν δὲ ἀλλήλοις ἡρμοσμένοι, ὥστε δοκεῖν
ἕνα τοῖχον τὴν συντέλεσιν ὁλόχρυσον εἶναι· μη-
κυνόντων τῶν ἁρμῶν ἔσωθε καὶ ἔξωθεν· εἶχε γὰρ
ἕκαστος κίων τρεῖς σπιθαμὰς ὥστε συμπλη-
ροῦσθαι τὸ μῆκος τῶν τριάκοντα πηχῶν ὑπὸ τῶν
εἴκοσι κιόνων· καὶ τῶν δέκα ὑπὸ τῶν ἕξ· ἐγγώ-
νιοι δὲ δύο κίονες ἦσαν ὀπίσω ἀπὸ πήχεος ἑνὸς
συνάπτοντες τῷ πλάτει τὸ μῆκος· διὰ δὲ πάν-
των τῶν κιόνων ἐπέκειτο διαπερῶσα μία
συμπλεκομένη σανίς. κιγκλίσκοις θήλε-

σι καὶ ἄρρεσι πρὸς τὸ μή θ' ὑπ' ἀνέμων κραδαίνεσθαι† τὸ δὲ ἔνδον τῆς σκηνῆς,
εἰς τρία διῄρετο κατὰ πηχῶν ι'· καὶ ἦν τὸ μὲν ἐσώτατον ἄδυτον πηχῶν ι', τοῖς ἱε-
ρεῦσιν ἄβατον· τέσσαρες δὲ κίονες ἴσοι τοῖς ἄλλοις διεῖργον τὸ ἄδυτον
τοῦ ἐξωτάτου· οἱ δὲ λοιποὶ πήχεις εἴκοσι· οἱ πρὸ τοῦ ἀδύτου τοῖς ἱερεῦσι μό-
νοις ἐξέκειντο· τὸ δὲ μέτωπον ἐξ οὗπερ ἡ εἴσοδος ἦν, πέντε κίοσι διαχρύ-
σοις ἴσοις τοῖς ἄλλοις συνίστατο χαλκαῖς βάσεσιν ἐφεστῶτες· εἶχε δὲ κα-
ταπέτασμα ἐκ βύσσου καὶ πορφύρας καὶ ὑακίνθου καὶ κοκκίνου βαφῆς ἐμπη-
χον ι'· καὶ διῃροῦντο οἱ δέκα πήχεις τοῦ ἀδύτου, τούτῳ τῷ καταπετάσματι·
καὶ ὁ μὲν ναὸς ἅγιος ἐκαλεῖτο ὁ ἐξώτατος· ἅγιον δὲ ἁγίων τὸ ἄδυτον.
Τὸ δὲ πρῶτον τῶν κ' πηχῶν μέρος ἱερεῦσιν ἀνεῖτο ὑπολυομένοις· τὸ
τῶν δέκα δὲ πηχῶν προσισόδιον καὶ πρὸ τοῦ μετώπου, φᾶρος ἐφελκόμενον
ἀπὸ καλῶν ἐπὶ θάτερα· κρίκοις ἐπισυναγόμενος· πρός τε τοῦ ἐκπε-
τάννυσθαι καὶ συνεφέλκεσθαι κατὰ γωνίαν· καὶ τοῦτο ἐν ταῖς ἐπισήμοις ἡ-
μέραις ἐπισυνήγετο πρὸς τὸ καθοπτεύεσθαι. ἦσαν δὲ καὶ σινδόναι
περιτιθέμεναι τῷ ἁγιάσματι· καὶ ἐπὶ ταῖς σινδόσιν βεβαμμένων ποι-
κίλαις βαφαῖς. ἕτερα καλύμματα πρὸς τὸ τοὺς χειμῶνας ἐπέχειν
καὶ ἐπάνω τούτων ἄλλαι διφθέραι πεποιημέναι καλύπτουσαι τὰ σκη-
πάσματα ἐν τοῖς ὑετοῖς. ἡ δὲ κιβωτὸς ἦν εἰς τὸ ἅγιον τῶν ἁγίων
ἐκ ξύλων ἀσήπτων, μήκους σπιθαμῶν ε'· πλάτους καὶ βάθους σπι-
θαμῶν τριῶν· χρυσῷ ἔξωθε καὶ ἔσωθε καταπεπρισμένη· αὕτη
δὲ ὁπότε δέοι ὑπὸ τῶν ἱερέων ἐφέρετο, κρίκοις χρυσοῖς ἐνηλω-
μένη· καὶ ἐπ' ὤμων ἀρτῆρσιν αἰρομένη· ἐπῆσαν δὲ αὐτῇ δύο
χερουβίμ· μορφὴ δὲ οὐδενὶ ταύτῃ τῶν ὑπὸ ἀνθρώπων
ἑωραμένων παραπλήσια· ἐν ταύτῃ καὶ αἱ δύο πλά-
κες ἀπέκειντο τῆς δεκαλόγου· ἐν δὲ τῷ ναῷ τῷ πρὸ

†κατεχομένη· τὴν σκηνὴν· ἀλλ' ἐν ἠρεμίᾳ πολλῇ διαφυλάττεσθαι·

τῶν ἁγίων τράπεζα ἵδρυτο· μῆκος πηχῶν β΄,
πλάτος πήχεος α΄. ὕψος σπιθαμῶν γ΄. κρί-
κοις χρυσοῖς ἐνηλωμένη καὶ ἀετῆρσι φερομένη
χρυσοῖς. ἐν ᾗ οἱ τῆς προθέσεως ἄρτοι ιβ΄ ἐν δυ-
σὶν ἑξάσι κατὰ πᾶν σάββατον ἐναλλασσόμε-
νοι ἄζυμοι ἐτίθεντο. καὶ ἐπάνω δύο φιάλαι χρυ-
σαῖ τῶν ν̄ ἀρίστων θυμιαμάτων πλήρεις. πρὸς δὲ
τὸ ἀρκτῷον ἐκεῖνο πλευρόν. λυχνία δὲ ἦν
πρὸς τὸ μεσημβρινὸν πλευρὸν ἐκ χρυσοῦ κεχω-
νευμένη διάκενος· σταθμοῦ μνῶν ρ΄. πεποίητο δὲ
ἐκ κρίνων καὶ ῥοΐσκων καὶ κρατηριδίων εἰς ἑπτὰ
μέρη διῃρημένη. ἑκάστου μέρους δέκα συνθέσεις,
ἐκ κρίνων καὶ ῥόων καὶ κρατηριδίων ἔχοντος. οἳ
εἰσὶν οἱ πάντες ο΄. καὶ ἐπὶ ταύτης λύχνοι ζ΄.
μέσον δὲ τῆς λυχνίας καὶ τῆς τραπέζης, θυσιαστήριον
ἦν πηχυαῖον κατὰ πλευρὰν ἑκάστην. ὁμοίως ἐκ ξύ-
λων ἀσήπτων χρυσῷ περιεληλασμένων. ὕψος πηχῶν
β΄. ἐπῆν δὲ αὐτῷ αἰσχάρα χρυσέα· καὶ κατὰ γωνίαν χρύ-
σεοι στέφανοι ἐπέκειντο. ὡς καὶ σκυτάλιδες καὶ κρίκοι
πρὸς τὸ αὐτὸ διὰ τῶν ἱερέων φέρεσθαι συνέκειντο. πρὸ
δὲ τῆς σκηνῆς ἵδρυτο βωμὸς χάλκεος ὑπόξυλος κατὰ
πλευρὰν ἑκάστην ε΄ πήχεις ἐκμεμετρημένος. τὸ δὲ
ὕψος τρίπηχυς. ὁμοίως χρυσῷ κεκοσμημένος
αἰσχάραν ἐπικειμένην ἔχων δικτυωτήν. τὸ καταφε-
ρόμενον πῦρ ἐξ αὐτῆς τῆς ἐκδεχομένης. καὶ ἐτίθετο
ἀντικρὺ τῆς χρυσέας. σκεύη δὲ πρὸς τὴν τούτων λει-
τουργίαν ἦν πολλαὶ καὶ διάφοραι. οἰνοχοαὶ καὶ
φιάλαι καὶ θυίσκαι καὶ κρατῆρες χρύσεα πάν-
τα πρὸς τὰς ἱερουργίας πεποιημένα, αὕτη ἡ
σκηνή.

ριβ Πόσος ἦν ὁ λαὸς ὁ ὑπὸ Δαβὶδ ἀριθμηθεὶς παρὰ τὸ δοκοῦν τῷ θεῷ;
Ἀπὸ μὲν τοῦ Ἰσραὴλ ρι΄ μυριάδες· ἀπὸ εἰκοσαετοῦς ἕως πεντηκονταετοῦς, ἀνδρῶν μαχητῶν· ἀπὸ δὲ τοῦ Ἰούδα τῆς αὐτῆς ἡλικίας μ΄ μυριάδες· αἵτινες πᾶσαι διὰ τοῦ Ἰωὰβ ἠριθμήθησαν.

ριγ Πόση ἀπώλεια τοῦ λαοῦ ἐπὶ τῇ ἁμαρτίᾳ τοῦ Δαβὶδ τῆς ἐξαριθμήσεως τοῦ λαοῦ;
Εἰς ἓξ ὥρας τὰς ἀπὸ πρωῒ ἕως ἀρίστου μυριάδες ζ΄:–

ριδ Τίνες πορνεύσασαι γυναῖκες εἰς γάμους εὐδοκίμησαν;
Θάμαρ ἡ Χαναναία εἰς τὸν Ἰούδαν σοφῶς πορνεύσασα [illegible] τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐξ αὐτοῦ γεννήσασα· Ῥαὰβ ἡ τοὺς κατασκόπους κατακρύψασα ἐκ τοῦ Σαλμὼν τὸν Βοὸς γεννήσασα· Βηρσαβεὲ ἐκ τοῦ Δαβὶδ τὸν Σολομῶντα γεννήσασα· Γόμερ ἡ τοῦ Δεβηλαεὶμ ἐκ τοῦ Ὠσηὲ τὸν Ἰεζραὴλ γεννήσασα·

ριε Τίνες ἐν τοῖς προφήταις ἄγαμοι μεμενήκασιν· Ἄβελ ὁ τοῦ Ἀδάμ· Μελχισεδὲκ ὁ ἀρχιερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου· Ἠλίας ὁ ἀναληφθείς· Ἐλισσαῖος ὁ τούτου μαθητής· Ἱερεμίας ὁ κωλυθεὶς [redacted] ὑπὸ θεοῦ μὴ λαμβάνειν γυναῖκα·

Caput ρις vide alibi descriptum.

ριζ Τίνες ἐλεφαντίασαν ἐν τοῖς βασιλικοῖς τοῦ Δαβὶδ σπέρματος βασιλεῦσι διὰ τὸ δυσσεβῆσαι· Ἰωράμ· Ἰωάς· Ὀζίας· Ἄχαζ· Μανασσῆς· Ἀμώς· Ὀζίας δὲ διὰ τὸ λεπρωθῆναι·

ριη Τίνες οἱ ἐκ τοῦ Δαβὶδ βασιλεῖς ἀπόβλητοι ἐκ τῆς τοῦ Χριστοῦ γενεαλογίας γεγόνασι· καὶ διατί· Ὀχοζίας ὁ τοῦ Ἰωρὰμ υἱός· καὶ Ἰωάς, ὁ τοῦ Ὀχοζίου· καὶ Ἀμασίας ὁ τοῦ Ἰωάς· οὗτοι οὐ γενεαλογοῦνται ἐν τῷ εὐαγγελίῳ· ἐπείπερ ὁ Ἰωρὰμ θυγατέρα τοῦ Ἀχαὰβ καὶ τῆς Ἰεζάβελ ἠγάγετο γυναῖκα τὴν Γοθολίαν· ἥτις ταῖς τῆς Ἰεζάβελ δυσσεβείαις τεθραμμένη καὶ τὸν Ἰωρὰμ ἀπηγάγετο δυσσεβεῖν· καὶ τὸν υἱὸν αὐτοῦ τὸν Ὀχοζίαν· καὶ τοῦ Ὀχοζίου ἀποθανόντος, τὸ βασιλικὸν γένος τὸ ἐκ τοῦ Δαβὶδ ἐπεχείρησεν ἀφανίσαι, εἰ μὴ Ἰωσαβεὲ ἡ τοῦ Ὀχοζίου ἀδελφή, γυνὴ δὲ Ἰωδαὲ τοῦ ἀρχιερέως. βρέφος ὄντα ἔτι τὸν Ἰωὰς υἱὸν τοῦ ἀδελφοῦ αὐτῆς Ὀχοζίου κλέψασα καὶ κατακρύψασα ὀκταετῆ γενόμενον ἔδειξε τῷ ἀρχιερεῖ Ἰωδαέ· ὃς ἀποκτείνας τὴν Γοθολίαν εἰς τὸν Ἰωὰς κατεστήσατο τὴν βασιλείαν. ἀλλ' οὐδὲ Σεδεκίας γενεαλογεῖται· ἀνηκουστήσας θεοῦ καὶ κατάραν ὑπομεῖναι τὴν διὰ τοῦ προφήτου Ἱερεμίου φήσαντος, γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον.

τίς ἰατροῖς κακῶς χρησάμενος· καὶ μὴ παρὰ ριθ
τοῦ θεοῦ τὴν ἴασιν αἰτήσας, ἀποθνήσκει·
Ἀσὰ ὁ τοῦ Ἰούδα βασιλεύς, τοὺς πόδας μαλακισθεὶς καὶ
μὴ ἐκζητήσας τὸν κύριον· ἀλλὰ τοὺς ἰατρούς, ἀποθνήσκει·

Τίνα ἐστὶ τὰ μνημονευόμενα ἐν ταῖς γραφαῖς ρκ
βιβλία ὡς ὄντα· οὐχ εὑρισκόμενα δέ·
Νάθαν καὶ Ἀδδὼ· καὶ Ἀχιὰ τοῦ Σιλωνίτου· καὶ Σεμεῒ καὶ Ἰηοῦ
ἐν τῷ βιβλίῳ τῶν βασιλειῶν γεγράφθαι εἶναι βιβλία·
προφῆται δέ εἰσιν οὗτοι· οἳ γεγράφασι περὶ ὧν προεφήτευσαν
ἃ οὐχ εὑρίσκεται· ψαλμοὶ τρισχίλιοι λέγονται ἐν
παραλειπομένοις εἶναι τοῦ Δαβίδ· μόνους δὲ ἐξ αὐτῶν
τοὺς ρν ὑπὸ τῶν φίλων Ἐζεκίου τοῦ βασιλέως ἐκλελέχθαι·
τοὺς δὲ ἄλλους ἀποκεκρύφθαι· πεντακισχιλίας παροιμίας
ὑπὸ τοῦ Σολομῶντος ἐκδεδόσθαι φησὶν ἡ τῶν παραλειπομένων
γραφή· ἀλλ' οὐκ εἰσὶ νῦν, ἢ μόναι τρεῖς αἱ ἐκκλη-
σιαζόμεναι· τὸ ᾆσμα ἐξ ᾀσμάτων πλειόνων· τὸ μυστι-
κὸν ἐκλελέχθαι ἐπιγέγραπται· Ἰώσηππος δὲ ἱστορεῖ
δύο βιβλία προφητείας τὸν προφήτην Ἰεζεκιὴλ γεγραφέναι·
ἓν δὲ μόνον ἐπιγινώσκομεν εὑρίσκεσθαι.

Cap. ρκα et ρκβ ~~vid~~ vide alibi descripta.

Ποσάκις πορθεῖται ἡ Ἱλήμ· ρκγ
Πρῶτον ὑπὸ Ναβουχοδονόσορ τοῦ Βαβυλωνίου ἐπὶ Σεδεκίου
βασιλέως καὶ Ἱερεμίου τοῦ προφήτου ἐπὶ ο ἔτη.
Δεύτερον, μετὰ ἔτη ^ [illegible] ὑπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ^ υνε
ἐπὶ ἡμέρας βς κατὰ τοὺς Μακκαβαίων χρόνους.
Τρίτον ὑπὸ Πομπηΐου τοῦ Ῥωμαίων ἡγουμένου Ἀριστοβούλου
καὶ Ὑρκανοῦ περὶ ἱερωσύνης μαχομένων· οἳ ἦσαν ἀδελφοί·
καὶ [illegible] αὐτῶν εἰς τὸν ναόν· καὶ ἐπὶ μῆνας
τρεῖς μηχανήματα αὐτοῦ, καὶ πάντα τὰ ἔνδον ἀφελόμενον·
Τέταρτον ὑπὸ Σοσίου τοῦ Ῥωμαίων στρατηγοῦ ὃν
Ἡρώδης ἐπηγάγετο κατὰ Ἀντιγόνου τοῦ Ἀριστοβούλου
περὶ ἀρχιερωσύνης ἀνισταμένου δέξασθαι βασιλέα
τῆς Ἰουδαίας τὸν Ἡρώδην· ἐπολιορκήθη δὲ ἐπὶ τοὺς
μῆνας ἕξ· πέμπτον μετὰ ἔτη [illegible] τῆς ὑπὸ Σοσίου
πολιορκίας· μετὰ δὲ τὴν τοῦ κυ ἄρνησιν καὶ
ἄνοδον αὐτοῦ τὴν εἰς οὐρανόν, εἰς ἔτη λη ὑπὸ Οὐεσπασιανοῦ
καὶ Τίτου Ἰουδαίοις πᾶσα πεπόρθηται· καὶ ὁ ναὸς
παντελῶς ἥλω.

Hoc Cap. cum ejusdem interpretatione ~~[illegible]~~ exhibet Cl. Olearius in Observatt. Philologicis de Oraculo Matthaei II. 23. citato.

ρκδ ποσάκις καὶ πότε ἐπορθήθησαν οἱ ἐξ ἰηλ·
α ἐπὶ ἱεροβοὰμ σουσάκης ὁ αἰγυπτίων βασιλεύς·
β ἐπὶ ἀζαὴλ βασιλέως ἀσσυρίων, ἐσκηνώθησαν εἰς
ἀσσυρίοις: γ ἐπὶ ἐζεκίου δὲ αἱ δέκα φυλαὶ μετῳκίσθησαν εἰς
μήδων καὶ χαλδαίων: δ ἐπὶ ναβουχοδονό-
σορ ὅτε καὶ τὸν ἰεχωνίαν ἐξεζώφλακε καὶ τὸν σε-
δεκίαν: ε ἐπὶ νέρωνος βασιλέως ῥωμαίων: ς ἐπὶ οὐεσπασια-
νοῦ στρατηγοῦ ῥωμαίων: ζ πτολεμαῖος ὁ λάγου
δόλῳ παραλαβὼν τὰ ἱεροσόλυμα, μετῆρεν εἰς
αἴγυπτον: η ἐπὶ ἀντιόχου τοῦ ἐπιφανοῦς ὃς καὶ
ἐπὶ βδελύγμασιν ἠνάγκασε βασιλεὺς συρίας:
θ πομπήιος στρατηλάτης ῥωμαίων ὑπὸ φόρους ἐ-
ποίησε πολεμήσας ἱεροσόλυμα. ὑρκανοῦ βασι-
λεύοντος καὶ ἱερατεύοντος. ἕως αὐτοῦ τοίνυν
ὑρκανοῦ ἡ βασιλεία τοῦ ἰηλ· καὶ λαμβάνει
τὴν βασιλείαν ἡρώδης ἀλλόφυλος ἀπὸ τῶν
ῥωμαίων· ὃς καὶ πλησιάζει τῇ τοῦ χυ παρουσία·
ι τίτος ὁ υἱὸς οὐεσπασιανοῦ κατὰ τὸν καιρὸν τοῦ
τοῦ πάσχα κατασκάψας τὰ ἱεροσόλυμα ἐν ᾧ
πάντες ἑόρταζον οἱ τοῦ ἔθνους συναχθέντες, ἀνεῖ-
λε μυριάδας ρι· καὶ ἄλλας ρ μυριάδας εἰς
διαπέπρακεν ἐσχάτῃ ἁλώσει.

ρκε ΚΕΦΑΛΑΙΟΝ ἰωσήππου ἕτερον.

Γυνή τις τοῦ λιμοῦ διὰ τῶν σπλάγχνων καὶ μυ-
ελῶν παρεισδύνοντος ἐπὶ τὴν φύσιν ἐχώρει· καὶ τὸ
τέκνον ἦν δὲ αὐτῇ ὑπομάσθιος παῖς ἁρπάσασα ἡ
εἶπε· βρέφος ἄθλιον· ἐν πολέμῳ καὶ λιμῷ καὶ
στάσει τίνι σε τηρῶ· γενοῦ μοι τροφή, καὶ τῷ
βίῳ μῦθος. καὶ ταῦτα λέγουσα, σφάζει τὸν υἱὸν
καὶ ὀπτήσασα, τὸ μὲν ἥμισυ κατεσθίει· τὸ δὲ λοι-
πὸν καλύψασα ἐφύλαττεν. εὐθέως οἱ στασιασταὶ
κνίσσης παρῆσαν· καὶ τῆς ἀθεμίτου κνίσης πνεόμενοι, ἠ-
πείλουν· εἰ μὴ δὴ τὸ παρασκευασθὲν ἀποσφάτ-
τειν αὐτὴν ταχέως· ἡ δὲ τὰ λείψανα τοῦ υἱοῦ
διεκάλυψε· τοὺς δὲ εὐθέως φρίκη καὶ φρενῶν
ἔκστασις ἔλαβε· καὶ παρὰ τὴν ὄψιν ἐπεπήγησαν·

ἡ δὲ εἶπεν· ἐμὸν τοῦτο τὸ τέκνον γνήσιον· καὶ τὸ ἔργον ἐμόν·
φάγετε· καὶ γὰρ ἐγὼ βέβρωκα· μὴ γίνεσθε μήτε
μαλακώτεροι γυναικὸς, μήτε συμπαθέστεροι μητρός·
εἰ δὲ ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε
θυσίαν· καὶ τὸ λοιπὸν ἐμύνατο· τὸ δὲ ἀπὸ τοῦ
τοῦ λιμοῦ φθειρόμενον κατὰ τὴν πόλιν πλῆθος ἐπίπτε·
καὶ καθ' ἑκάστην οἰκίαν ὅπου τροφὴ παρεφάνη,
πόλεμος ἦν ἐν αὐτῇ· καὶ διὰ χειρῶν ἐχώρουν οἱ
φίλοι πρὸς ἀλλήλους· πίστις δὲ ἀπορίας οὐδὲ τοῖς ἀπο-
θνήσκουσιν· ἀλλὰ τοὺς ἐμπνέοντας οἱ λησταὶ διηρεύνων·
καὶ ὑπὸ ἀμηχανίας τοὺς αὐτοὺς οἴκους εἰσεπήδων,
δὶς ἢ τρὶς ὥρᾳ μιᾷ.

πόσαι ἑορταὶ παρὰ ἰουδαίοις ἄγονται· ῥκς
νόμιμοι μὲν αἱ τρεῖς· ἐν αἷς καὶ τρὶς τοῦ ἐνιαυτοῦ
εἰς τὴν ἱλημ ἀνίεσαν· πρώτην τὴν τοῦ φασέκ
ἥ ἐστιν ὑπέρβασις· ἐν ᾗ τὸ ἄζυμον ἤσθιον διαβατήριον
καλουμένην ἐν τέσσαρσι καὶ δεκάτῃ τοῦ πρώτου
μηνὸς ἐπιτελουμένην· δευτέραν τὴν πεντηκοστὴν
μετὰ ν̅ ἡμέρας τοῦ φασέκ ἐπιτελουμένην· ἐν
ᾗ τὰ πρωτογεννήματα προσῆγον· ἐπείπερ καὶ
αἱ δίπτυχοι πλάκες τῆς νομοθεσίας ἐν ταύτῃ τῇ
ἡμέρᾳ τῷ μωϋσῇ ἐν τῷ σινᾶ ὄρει ἐπεδόθησαν·
τρίτην ἐν τῷ ἑβδόμῳ μηνὶ τὴν τῶν σκηνοπηγιῶν
ἐν ᾧ μηνὶ νεομηνίᾳ μὲν τοῦ μηνὸς σαλπίζειν
ἐν κερατίναις ἐπετάττοντο σάλπιγξι· τῇ δὲ δεκάτῃ,
νηστείαν μετὰ κακουχίας ἦγον· ἀπὸ δὲ πεντεκαιδεκάτης
ἕως ἡμερῶν ἑπτὰ σκηνοποιεῖσθαι· αὗται μὲν
οὖν αἱ νόμιμοι τρεῖς ἑορταί· ἐφευρέθησαν δὲ
καὶ ἄλλαι δ̅ ἑορταὶ, πραγμάτων εὐεργεσίας
ἐνεγκάντων τινάς· ἐν αἷς λυχνοβαφεῖ μηνὶ ἀδὰρ
ὅ ἐστι δύστρος ὑπὲρ τῆς ἀναιρέσεως ἀμάνου· ὃς
συνεσκευάσατο ἐπὶ τῶν περσῶν ὅλον τὸ ἔθνος ἐν
μιᾷ ἡμέρᾳ ἀπὸ συνθήματος ἐξαφανισθῆναι·
μαρδοχαῖος δὲ πείσας ἐσθὴρ σύγκοιτον γενομένην

δωρεὰς τοῦ ἀρχιερέως τὴν σκηνὴν αὐτοῦ ἀνέτρεψε
καὶ αὐτὸν ἀνεσταύρωσεν. ἑορτάζουσι [illegible] γοῦν ταύ-
την ἡμέραν· καὶ καλεῖται αὕτη ἡ ἑορτὴ παρ᾽ αὐτοῖς
φρουραί. μηνὶ τῷ αὐτῷ ὑπὲρ τῆς ἀναιρέσεως νι-
κάνορος τοῦ ἀποσταλέντος ἐπὶ δημητρίου ἐπὶ τὸν
μακεδόνων λαόν, καὶ τὸν λαὸν ἀφανίζει· ἀλλὰ
τούτῳ συμβαλὼν ἰούδας ὁ μακκαβαῖος, ἐνίκησε·
καὶ τὴν κεφαλὴν αὐτοῦ καὶ τὰς χεῖρας ἀπο-
κόψας, ἤγαγεν εἰς τὴν ἱλημ· τῇ τρισκαιδεκάτῃ
τοῦ δύστρου μηνός· ἐν ᾗ ἡμέρᾳ καὶ τὴν ἑορτὴν,
ἕως τοῦ παρόντος ἐπιτελοῦσι. μηνὶ δὲ χασλεῦ,
ὅς ἐστιν ἀπρίλλιος· ε κ· ἄλλην ἑορτὴν τὰ φῶτα
καλουμένην ἐπιτελοῦσι τῆς καθαιρέσεως· τοῦ ναοῦ
θεοῦ μνήμην ποιούμενοι, ὃν ἐμίανεν ἀντίοχος
ὁ ἐπιφανής. μηνὶ δὲ νησὰν· ξανθικὸς δέ ἐστιν
οὗτος· ἄλλην ἄγουσιν ἑορτὴν ὑπερεύσημον· ὅ
ματθαίου τὴν ἄκραν ἐκαθαίρισε·

ρκγ Ποίας νηστείας ἰουδαῖοι νηστεύουσι·

Νόμιμον μὲν οὖν νηστείαν τὴν ἐν τῷ ἑβδόμῳ
μηνὶ δεκάτῃ τοῦ μηνὸς νηστεύειν παρειλήφασιν·
εἰσὶ δὲ καὶ ἄλλαι δ΄ αὐτοῖς παρειλημμέναι
νηστεῖαι· καὶ παρὰ τῷ προφήτῃ ζαχαρίᾳ
μνημονευόμεναι· περὶ ὧν φησι· νηστεία ἡ
τετάρτη καὶ νηστεία ἡ πέμπτη· καὶ νηστεία
ἡ ἑβδόμη καὶ νηστεία ἡ δεκάτη, ἔσται τῷ
οἴκῳ ἰούδα εἰς χαρὰν καὶ εἰς εὐφροσύνην
καὶ εἰς ἑορτὰς ἀγαθάς· καὶ ἡ μὲν τοῦ τετάρ-
του μηνὸς νηστεία ἐστίν, ἐν ᾧ μηνὶ ἡ πόλις
ὑπὸ τοῦ ναβουχοδονόσορ ἐρράγη. ἡ δὲ τοῦ
πέμπτου, ἐν ᾧ ἐνεπρήσθη ὁ ναός· ἑβδόμου δέ,
ἐν ᾧ ὁ γοδολίας ἀνῃρέθη ὑπὸ ἰσμαήλου· καὶ
δεκάτου καθ᾽ ὃν μῆνα τοῖς οὖσιν ἐν βαβυλῶνι
ἀνηγγέλθη τὰ γινόμενα ἐν ἱλημ ἅπαντα κακά.

CXVI <u>Quinam Apostolorum uxores habuerint.</u>

Petrus: Etenim filia ei extitit.] Philippus: Nam tres habuit filias, easdemque prophetissas, quae virgines sanctae in Asia sepultae iacent.] Paulus: ut qui in epistola dicit: Etiam tu, o coniux, suscipe illas.]

CXXI. <u>Quaenam sint testimonia, quae ab Apostolis allegata, nullibi in scripturis extant.</u>

Matthaeus de domicilio Iosephi, ubi ille una cum Domino ex Aegypto Nazaretham advenit, dicit: Veniens autem habitaculum Nazarethae posuit, ut ratum fieret illud, quod scriptum a prophetis: Nazaraeus ille vocabitur.] Paulus in epistola, quam ad Ephesios dedit, scribit: Quare dicit: expergiscere qui dormis, et Christus tibi illucescet. Et rursus scriptum extat: Homo primus factus est in animam vivam, alter spiritus dans vitam.] Et senioribus, qui Mileti convocati erant, praecipiens dicit: ve- damini magis quam accipere.]

CXXXIII. Quaenam testimonia Paulus Apostolus e scriptoribus profanis ad-duxit.

Ob verbi praedicationem Athenis in-sum dicens ait. Sicut et quidam vestrûm Poëtarum dixerunt. Nam genus illius sumus.]

Et Tito in Creta degenti scribens dicit; Quidam ex illis proprius ip-sorum vates dixit. Cretenses semper sunt mendaces, malae bestiae, ventres voraces.]

Qui etiam Dominus ~~quoddam~~ proverbium profanum adhibuit, ad Nazareth incolas dicens. Omnino mihi proverbium illud Medice cura te ipsum

Sic et in scriptione, quae ~~Athenis~~ in altari, quod Athenis erat, his verbis legebatur: Ignoto Deo. Paulus auctor est testimonio. Quem igitur ignorantes, inquiens, colitis, hunc ego vobis annuncio.]

CXXII. <u>Quinam fuerint sacri Codicis interpre-</u>
tes.] Primo, temporibus Ptolemaei Philadel-
phi Alexandriae fuere LXXII Judae-
orum sapientes, qui ab Eleazaro
Summo Sacerdote, ad sacras illi Scri-
pturas interpretandas missi sunt.]
Secundus interpres est Aquylas, qui natus
est temporibus Regis Adriani, et cum ~~Graecu~~
cupisset, ad cultum Judaicum esse con-
versus, et linguae Hebraicae operam
dedit. Cum vero animadverteret,
seniores minus accurate interpretatos fuisse
quod in sermone Graeco non recte habe-
bant, multo accuratius ~~interp~~ transtulit.] Tertius
interpres Symmachus, natus est temporibus Se-
veri, et Antonii, cognomine Gelis. Hunc
Samaritanum fuisse. ~~haud [illegible]~~
~~ut qui ab illis se discedere [illegible]~~ est in Scripturis
Hebraicis ~~[illegible]~~ interpretationes
suum ~~[illegible]~~ conscripsisse, tradunt.] Quartus interpres, Theo-
dotion genere Ponticus, secta Marcionita, sed
postea Judaeus factus: qui linguam He-
braicam summo studio addiscens, et ipse Scriptu-
ras interpretatus est, non omnino LXX
orum versioni inhaerens.] Quinta autem
post Hierichunte doliis fictilis abscondita
[illegible] reperta est: quae nomen interpretis haud
Ferunt autem multi eam esse versionem
et doliis in aedibus multis sacri Codicis
Christianis inventa sit.] Sexta quaedam alia,
post Adrianum ~~[illegible]~~ reperta est post
Severi, in duas versiones Scripturae
et servantur.

**ὙΠΟΜΝΗΣΤΙΚΟΝ ΒΙΒΛΙΟΝ ἸΩΣΗΠΠΟΥ.** C. I. Oẽs generationes ab Adam usq; ad Christi
adventum II. Quot fuere summi sacerdotes facto initio ab Aarone. III Qui nominati ex
Cain; narratio ad VII generationem. IV. Qui servabant temp. diluvii in Arca V Iacobi XII fi-
liũ, populi Patriarchæ. VI. Illi 71. qui cum Iacobo in Ægyptum profecti sunt. VII. Sacerdo-
tes Samuelis progenitores. VIII. Sacerdotes Heliæ processores. IX Sacerdotes processores
Ezechielis prophetæ. X Sacerdotes processores Ieremiæ prophetæ. XI Qui facti sunt Iudi-
ces a distributione Israëliticæ terræ in XII. tribus sub Iosua filio Nave. XII Reges populi
XIII Qui fuere reges Israelis, Israel diviso ab Iuda. XIV Qui prophetæ scripserunt prophe-
tias. XV Qui fuere præterea. XVI Quæ prophetissæ. XVII. Qui pii reges. XVIII Qui porro
impii. XIX Qui populi falsi prophetæ. XX Qui singulorum tribuum principes temp. egres-
sus ex Ægypto. XXI Quos filios habuit Moses et ex qua. Aaronis filii. XXII. Quarum natio-
num hæreditatem consecuti sunt Israelitæ. XXIII Quos reges interfecerunt et quarum
nationum. XXIV. Qui prodiere gentes e 3. filiis Noe, Sem, Cham et Iaphet. XXV. Duo
supra viginti libri V. T. de quibus non dubitatur, et qui libri præter hos. XXVI Appellatio-
nes et interpretationes Hebr. litt. XXVII Menses Hebr. Aegypt. Maced. Romanorum XXVIII
Confectio sacri olei. XXIX Qui gigantes. XXX Qui multos filios habuerant XXXI Divisio-
nes tribuum per Iosuam. XXXII. Civitates, refugia pro homicidis. 33. Quæ oppida dabantur
Levitis. 34. Quas civitates et reges ~~rep~~ invenerunt Iosua et Caleb, viri fideles. 35.
Reges qui incoluerunt planitiem, ubi nunc est mare salsum, quos percussit Abraham.
36 Reges cum Lotho, quos servavit Abraham. 37. qui Hebræi ducebant gentiles
uxores. 38 Quidam complures ducebant uxores. 39. Quot uxores interfecerunt vi-
ros suos. 40. Quot pro mulieres de viris bene meritæ sunt & quot etiam dilexit Deus
ob ea quæ fecerunt. 41. Qui viri insigni prudentia. 42. Quæ mulieres celebres ob pruden-
tiam. 43. Quidam per prudentiam sapientes, per suam tamen sapientiam interierunt. 44. Quidam
reticendo veritatem, salutem consecuti 45. Quidam dolo iustitiæ opera fecerunt. 46. Quidam
sub specie probitatis et pietatis. 47. Quidam iusti occisi sunt. 48. Quidam fratres interfece-
runt. 49. Quidam interemti propter opinionem pietatis erga Deum. 50. Quidam merce-
dem iustitiæ mortem reportarunt, et quidam per impietatem manserunt in vita. Quidam
tum cum minime ægrotabant, mori iussi sunt. 52. Quidam sanctorum cæci et visu orbati
occiderunt. 53. Quidam adhuc manent et non sunt mortui. 54 Quidam mortui in vitam
denuo restituebantur. 55. Quidam steriles liberos pepererunt. 56 Quidam patres dedecore affe-
cerunt. 57. Quidam cum vana de se iactassent, deciderunt. 58 Quidam propter humilitatem et mo-
destiam ad gloriam et sublimem dignitatem rapiebantur. 59. Quidam ob perpetrates cæ

gloriam et laudem gerenti a Deo dilecti. 60 Quidam ob scelera lapidati e medio sublati sunt, alii ob pietatem. 61. Quidam iusti habiti propter pietatem. 62. Quidam scelerati et nefandi evasi fuerunt. 63 Quidam binomines. 64. Quibusdam cognomina nativitatis Iudæi non imponebant. 65. Quot scripturae loca adducuntur pro unitate divinitatis. 66. Quot loca attendantur pro persona. 67. loca adducta ad stabiliendam trinitatem. 68 Quot Israëlitarum de Ægypto egressorum stationes. 69. Quot admiranda tum vidit Moses, tum fecit. 70. Quot signa fiebant per Iosedam filium Nave, et per ipsum miracula. 71. Quot stupenda fecerunt Iudices. 72. Quot miracula Samuelis. 73. Res gestæ Davidis quæ insuper fecit admiratione digna. 74. Salomonis res gestæ 75. Miracula Isaiæ prophetæ. 76. Quot vaticinatus est Ieremias 77. Vaticinium Sophoniæ 78 Vaticinia Aggæi 79. Vaticinia Zachariæ 80. Vaticinia Malachiæ 81. Quot fecit miracula Helias. 82. Miraculosa facta Elizæi, super quem fuit duplex portio spiritus Heliæ. 83. Vaticinia Heliæ 84. Vaticinia Helizæ 85. Vat. Gad. 86. Vat. Nathani. 87. Vat. Achiæ, qui fuit sacerdos Dei in Silo. 88. Vat. Samiriæ Prophetæ 89. Quid vaticinatus est Iaddus. 90. Quid vaticinatus est Baaza 91. Quid vaticinatus est Michæas. 92. Vatic. Azariæ, qui fuit filius Sadoc 93. Vatic. Iosuæ filii Nave 94. Vat. Ezechielis Prophetæ 95. Vat. Eliæ qui fuit filius Abdiæ 96. Vat. Oldæ quæ fuit uxor Sellum. 97. Vat. Zachariæ, qui fuit summus sacerdos 98 Vat. Simeonis 99. Vaticinium Elisabethæ. 100. Vat. Virginis Mariæ. 101. Qui viri in Evangelio vaticinatus est. 102. Qui Davidis proceres. 103 Salomonis Principes 104. Cibus Salomonis per dies singulos. 105. de templo Hierosolymæ quod ædificabat Salomon 106 Quale erat templum, quod Salomon extruebat. 107. Quot res sacræ consecratæ, et additæ purificationi et sanctificationi 108. Quot constructa et dedicata a Solomone ad sacrificium monumenta ea scilicet quæ vulgo dicimus vocalia. 109 Quot a Solomone gesta pro sacerdote et Levitis ad obeunda sacra munera. 110 Quale erat tabernaculum quod a Mose erigebatur ad similitudinem quod demonstratum in monte. 111. Qualis erat purificatio in medio portis, quam Moses fecit. 112. Qui Israëlitarum numeri quos David numeravit contra voluntatem Dei. 113. Quot perierunt propter Davidis peccatum, quod numerabat populum. 114. Quot adulteræ mulieres, quæ post in nuptiis probæ fiere. 115. Qui ex Prophetis coelibes manserunt. 116. Qui inter apostolos uxores habuerunt. 117. Quidam Regum non sepeliebantur inter sepulchra Regia Davidis, quod impii erant. 118. Quidam Reges e stirpe Davidis non recensentur in Christi genealogia, et quare. 119. Quis cum medicis male affectus usus est, et adeo sanitatem non petiit, obiit. 120. Qui libri commemorantur in sacris litt. ac si extarent, non tamen reperiuntur. 121 Quot testimonia adducta ab Apostolis, non reperiuntur in scripturis. 122. Qui interpretati sunt sacras literas 123 Quoties vastata fuit Israëlitarum regio. 124. Quibus et quando exsulabant Iudæi 125. Capitulum Iosephi 126. Quot festa celebrant Iudæi. 127. Quot ieiunia servarunt Iudæi 128. Non quemvis oportet de re quavis quæstionem facere, et quod quidam sunt

64

incomprehensibilia. 129. Quot per insomnia indicant poenam. 130. Quis scripsit librum Regum. 131. Quot in similitudinibus et aenigmatibus in scripturis dicunt. 132 Quot parabolae dictae sunt propter Christum. 133. Paulus Apostolus facit mentionem de gentilibus testimonii. 134. Quot viri nomine Jacobi erant inter Apostolos. 135. Quot viri Joannis nomine Evangelium nuncii, et quot Zachariae 136. Ex libris annalibus ipsius Hippolyti Thebani. 137. Qui facti Apostolis familiares sunt. 138. Quot et quae ascensiones factae sunt per Graecos et per quos. 139. Quot haereses ortae sunt adversus fidem Ecclesiae. 140. Judaeorum haereses. 141. Samaritanorum haereses. 142. Haereses ap. Graecos. 143. Quot divinationes ap. Graecos. 144. Quare Judaei secundo sabbatorum et quinto jejunant. 145. Quare Christiani die quarto et parasceve jejunant. 146. Quot gentes conflatae ex Abrahamo 147. Quot vaticinatus est Apostolus Paulus. 148. Quot vaticinatus est Joannes, Evangelista. 149 Quot effluxerunt anni a mundo condito, ad Christum natum. 150. Quot aequalibus vocibus indicant sanctae scripturae, eundem esse Christum, qui apparituros esset inter homines. 151. Quoties apparuit Christus discipulis suis post resurrectionem suam a mortuis. 152. Quoties apparuit Christus discipulis post ejus ascensum in coelum. 153. Cujusmodi idola coluerunt Israelitae, deo relicto 154. Qui coluerunt amicitiam constantissime 155. Quis mutavit animam in ferarum. 156. Qui facti sunt ex improbis viri boni. 157. Qui longaevi post Mosem. 158. Qui manibus occiderunt leones 159. Qui occisi a leonibus. 160. Qui occisi propter sacrilegium 161. Qui in puteos ejecti, ut occiderentur. 162 Qui ob scelera commissa poenas dederunt. 163. Qui post delicta misericordiam consecuti 164. Qui ob benefacta gloriam et dignitatem consecuti et propterea peccarunt. 165. Qui impetum fecerunt in loca sacra et post dederunt poenas sacrilegii divinitus et prodigiose. 166. Quot virtutes lapidum, qui ponuntur in cingulo summi sacerdotis.

§ κα ζήτει ἐν τοῖς ἀποστόλοις γυναῖκας ἔχον.
Πέτρος καὶ γὰρ θυγατέρα ἐκέκτητο· Φίλιππος καὶ γὰρ τέσσαρας ἔσχε θυγατέρας προφήτιδας· αἳ κεκοίμηνται ἐν τῇ Ἀσίᾳ ἅγιαι παρθένοι· Παῦλος ὁ καὶ ἐπιστέλλων φησίν· ναὶ σύ σύζυγε προλαβοῦ ~~[illegible]~~ αὐτάς.

§ κβ

122. ζήτει περὶ τῶν τὰς ἱερὰς γραφὰς ἑρμηνευσάντων.
Πρῶτον ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου ἐν Ἀλεξανδρείᾳ οἱ οβ' τῶν Ἰουδαίων σοφοὶ ὑπὸ Ἐλεαζάρου τοῦ ἀρχιερέως εἰς τὸ ἑρμηνεῦσαι αὐτῷ τὰς γραφὰς ἀποσταλέντες. Δεύτερος δὲ Ἀκύλας ἑρμηνεύει ἐπὶ τοῦ βασιλέως Ἀδριανοῦ γεγονώς· ὃς ἐξ Ἑλλήνων ὢν καὶ προσήλυτος τῶν Ἰουδαϊσμοῦ· πονήσας πε[ρὶ] τὴν Ἑβραΐδα· ἐπειγεῖς τε ὡς οὐκ ἀκριβῶς ἡρμήνευσαν οἱ οβ' σ[οφοὶ] τὸ μὴ τὴν Ἑλλήνων φωνὴν ἀκριβοῦν ἡρμήνευσεν ἀκριβῶς. Τρίτος ἑρμηνεύει Σύμμαχος ἐπὶ Σευήρου καὶ Ἀντωνίνου τοῦ γε[τα] ἐπικεκλημένου γενόμενος. Τοῦτόν φασι Σαμαρείτην ὄντα καταγνωσθέντα αὐτοῖς ὑπ' αὐτῶν ἀποστάντα· φιλοπονήσαντά τε τ[ὰς] τὰς ἑβραϊκὰς γραφὰς ἐξενεγκεῖν αὐτῶν τὰς ἑρμηνείας. Τέταρτος ἑρμηνεύει Θεοδοτίων Ποντικὸς τὸ γένος· καὶ αἵρεσιν Μαρκιωνιστ[ής] ἔπειτα προσήλυτος Ἰουδαῖος· καὶ ζηλώσας τὴν Ἑβραΐδα, ἡρμήνευσε αὐτοῖς τὰς γραφάς· ὁ πάνυ τὰς τῶν οβ' ἑρμηνείας παραλλάξας. Πέμπτη ἔκδοσις εὑρέθη ἐν Ἱεριχῷ ἐν πίθοις χαλκοῖς κεκρυμμένη, οὐκ ἐπιγε[γραμ]μένη τὸν ἑρμηνέα. Φασὶ δὲ αὐτὴν ὑπὸ γυναικὸς ἑρμηνευθῆναι· τὸ γὰρ οἰκία γυναικὸς ἐπιμελοῦς ἐν τοῖς ἱεροῖς λόγοις εὑρεθῆναι τοὺς πίθους. Ἕκ[τη] ἔκδοσις εὑρέθη ἐν Νικοπόλει τῇ πρὸς Ἀκτίοις μετὰ τὸν ὑπὸ Διονυσίου ἐξ[...] αἱ ἑρμηνεῖαι τῶν γραφῶν εἰσὶ καὶ σώζονται.

Ephrata, οἶκος Βηθλεέμ p. 148.

Fornicatio, ὄλεθρος ψυχῆς, p. 149
χωρίζουσα Θεοῦ καὶ προσεγγίζουσα εἰδώλοις ib.
πληρῶσα τὸν νοῦ καὶ διάνοιαν ib. juvenes prematura morte necat ib. senes et nobiles ludibrio exponit. ib. ὅλη σώματι ὅλῳ [illegible] ἐν [illegible] ἔχει καὶ ἐν τῇ ἐπιθυμίᾳ [illegible] πᾶς [illegible] p. 151.

Gigantes. e coitu Angelorum (τῶν ἐγρηγορόων) forma humana indutorum cum mulieribus ~~humanam~~ nati

Josephus. Sponsa ab Ægyptio, licet magnatis consilio adhibitis philtris ei oblatis, ut cum ipsa concumberet, ~~h~~ tentatus est. p. 194.

Mulierum conversatio vitanda p. 148. 150. 151. M[illegible] vi sed dolo viros superant p. 150. easdem adversus [illegible] τῆς κοσμήσεως [illegible] βλέμματος [illegible] piunt. ib. Angelos ante diluvium seduxerunt p. [illegible] Ruben ob. anno aet. suo CXXV. p. 195. patris lectum inquinavit. ib. plaga ob id a Deo ~~peractis~~ [illegible] mensium spatio. ib. VII annos poenituit. p. 196 at qui Jacobo absente, in Gader cum Balla concub[illegible] p. 148.

~~[illegible]~~ spiritus erroris πνεύματα τῆς πλάνης p. 196. 197.

p. 116. ἐσφάλη, ὅτι τὴν μεγάλην ὑπερηφανίαν [illegible] καὶ πᾶσαν κακίας ἀπόδειξιν, τῷ [illegible] τὴν [illegible] τοῖς [illegible] [illegible] [illegible]

Comicus Graec. Menander, ἀναφαίρετον κτῆμα ἐστι παιδεία βροτοῖς. Doctrina mortalibus possessio est, quae auferri non potest. H. Steph. ad h. l. ea quae Cicero eandem in sententiam de virtute Parad. ult. scripsit, adhibuisse videtur, quae quidem [illegible] hoc nostro [illegible] quae Sapientiae auctoritatem praetendit, et Sapientiae dicta maxime illustrant. Etenim, Cicero inquit, si isti callidi rerum aestimatores prata et areas quasdam magni aestimant, quod ei generi possessionum minime quasi noceri potest: quanti est aestimanda virtus, quae nec eripi nec surripi potest unquam? nec naufragio nec incendio amittitur? nec tempestatum nec temporum permutatione mutatur. Huc maxime pertinent illa memoriae dignissima Biantis atque Stilponis responsa. Ille enim patria ab hostibus capta cum multi quantum possent de rebus suis asportarent, ut idem ipse faceret admonitus, Ego vero, inquit, facio. Nam omnia mea mecum porto. Hic autem, (ap. Plut. de lib. educ. p. 9.) a Demetrio rege, qui urbem civibus evacuatam solo aequaverat, interrogatus: numquid et ipse detrimenti cepisset, Οὐ δῆτα, inquit, πόλεμος γὰρ οὐ λαφυραγωγεῖ τὴν ἀρετήν. Recte sane. Nam virtus belli spolium esse haud potest. Sunt et alia ap. Menandrum de sapientiae et doctrinae praestantia egregie dicta, quae nostra magnopere illustrant, legi possunt ibi Comicorum Graec. sententias, quas H. Stephanus a. 1569 edidit p. 240. sq. Maxime vero illa, quae Sapientiae [illegible] addit. [illegible] καὶ παρὰ τοῖς πολεμίοις [illegible], has Menandri sententia: Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς (Mortalibus doctrina honori est omnibus. Steph.) confirmari videtur.

(Doctrina eximi haud eripi sua potest. Steph.)

Cic. Par. 2.

v. Grot. in Exc. Com.

p. 237. 1. ἡ ψυχὴ ἐστὶ τὸν σοφῶν. ἡ δὲ ψυχὴ
λέλεκτε εἰς [illegible]. ἡ δὲ [illegible]. κύριος καλουμένου [illegible]
convenient haec illis quae Democriti, illae e schola [illegible]

Wolf. in N.T.

qui Philosophi, Alexander dixit: ψυχὴ [illegible]
τὸν [illegible] ἐστι [illegible] ἔχει θεός.

Στίχοι εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον. 

Ἀνὴρ τὶς ἦν μέγιστος, ἐξυφασμένην
Στολὴν ἔχων ἔξαλλον ἐξαλλαγμένος, ἴ. ἐξ ἀλλ
Βεβαμμένην μάλιστα βύσσινον πάλαι·
Ταύτην δ' ἔβαλλε πυκνά, καὶ καθ' ἡμέραν
Χαίρων ἐτρύφα, μηδένος θέλων δίχα.
Καὶ τὸ ἑαυτοῦ σκληροκάρδιον πλέων. οι
Πτωχὸς δὲ τὶς, Λάζαρος, ἠναγκασμένος,
Ξένος, ταπεινὸς, καὶ καθεξηλκωμένος,
Πρὸ τῶν πυλῶν ἔκειτο τῶν τοῦ πλουσίου,
Θέλων ἐμπλῆσαι τὴν ἑαυτοῦ κοιλίαν
Ἐκ τῶν περισσῶν τῆς τραπέζης θρυμμάτων.
Παρεῖχε δ' οὐδεὶς ἀλγεινῷ αὐτῷ, καὶ κύνες
Τῶν τραυμάτων ἥπτοντο τῶν τοῦ Λαζάρου.
Καὶ ταῦτα πάσχων συνεχῶς ἐκαρτέρει.
Κ' αὐτὸς δ' ἐκεῖνος ὁ θρασυγνώμων μέροψ
Ἀπῆλθεν, οἴμοι, φορτίον πεπλησμένος,
Πρὸς χῶρον σκοτεινὸν, καὶ κατεζοφωμένον.
Ἄρας δὲ τούτων ὄμμα συντετριμμένον,
Ὁρᾷ τὸν ποτὲ καταφθὲν πρὸς τὴν θύραν
Συνημμένον Λάζαρον, ἐπὶ τὸν κόλπον
Καὶ πρὸς Ἀβραὰμ χερσὶν ἠγκαλισμένον.
Ῥήξας δὲ φωνὴν, καὶ στενάξας ἐκ βάθους,

Ταῦτ' ἐφώνησεν· Ἀβραὰμ πάτερ, πάτερ,
Ὁρᾷς με τὸν δύστηνον ἐξεστηκότα; Καὶ πρὸς μόνην
βλέποντα τὴν πυρὸς φλόγα·
Ὡς συμπαθὴς σῶσόν με τὸν ἐπταικότα,
Καὶ πέμψον ὡς εὔσπλαγχνος Λάζαρον τάχος,
Ὅπως δροσίσῃ μου τὴν κατεξηραμμένην
Γλῶσσαν βραβεύσοι, καὶ πραΰνῃ τοὺς πόνους,
Οὕς μοι προσεξένισεν ὁ βραχὺς βίος·
Καὶ σπεῦσον εὐδόκησον, Ἀβραὰμ πάτερ,
Καὶ μὴ παρίδῃς δυστυχοῦντά με βλέπων
Ἐν τῇ τοσαύτῃ τῶν κακῶν παρεκτάσει.
Ἔφη δ' Ἀβραὰμ συμφώνως τῷ πλουσίῳ·
Μνήσθητι, τέκνον, κρειττόνων τῶν ἐν βίῳ,
Πόσων κατετρύφησας καλῶν εἰς κόρον,
Ὡς καὶ Λάζαρος κακῶν τὴν καταιγίδα.
Σὺ δὲ μυρίων τολμημάτων μοι λέγεις
~~[illegible]~~ Ζητεῖν τὴν συγχώρησιν, ἀλλ' οὐ συμφέρει.
Μεταξὺ δ' ἀμφῶ χάσμα καρτερῶς πέλει,
Ὅπως δύνανται μηδαμῶς οἱ ἐνθάδε
Περᾶν ἐκεῖθεν, δραστικῶς πεπηγμένοι,
Μηδ' ἐκεῖνοι περᾶναι ἐν τοῖς ἐνθάδε.

Στίχοι Λέοντος τοῦ βασιλέως, ὡς αἴνιγμα Χριστοῦ
καὶ κρῖνον δεδηλωμένοι.



Εἰ γῆν ἅπασαν καὶ θάλατταν καὶ πόλον
Δρομαίως πτερωθείς, θαῦμα τοῖον οὐκ ἴδῃς.
Τί γάρ; τὸ πανθαύμαστον ἐμφαίνει κρῖνον.
Ἄκουσον ὦτα ψυχικοῦ πλυθεὶς ῥύπου,
Μυστήριον γάρ ἐστι θαυμάτων ὑπὲρ
Ὑψηλὸν ὄντως, τοῦ λόγου καὶ τοῦ τρόπου.
Οἶμαι δέ, θαυμάζουσι τάξεις ἀγγέλων,
Τοῦτο βλέπουσαι τὸ ὑπέρτατον θέαν.
Χρυσὸς γὰρ ἔνδον, ὥσπερ ἀκτῖνας φέρων,
Τὸ φῶς ἐξάπτει, καὶ σκεδάζει τὸ σκότος.
Καὶ δείκνυσι τρίφωτον ἀστράπτων τύπον,
Τριττὰς προσκυνοῦ ἐνθέους ὑποστάσεις,
Ἀλλ' εἷς μὲν αὐτὸς ὡς ἐν τρισὶ θελων.
Τριττῶς δὲ λάμπει φωτὶ τοῦ τοῦ χρυσίου.
Ἀπόστολοι δὲ κυκλικῶς ἑστηκότες
Λάμπουσι, φωτίζουσι τὰς ἐθνῶν φρένας.
Ἔσωθεν οἱ μὲν πορφυροῦσι τῷ θείῳ,
Ἐκ τοῦ δὲ λαμβάνοντες ἔμπυρον πέπλον,
Βρίθοντες ὕλην, καὶ σαλεύοντες κλίσιν.
Ἔξωθεν εἰς δὲ ῥυθμικῶς ἑστηκότες
Λευχημονοῦσιν, οἷα λαμπρὰ τοῦ λόγου,
Τὴν νοῦ μέλαιναν καὶ ζοφώδη καρδίαν
Λαμπρὰν ἀποστίλβοντες ἐνθέοις νόμοις.

Ὢ θαῦμα! ὢ ἔκπληξις! ὢ καινὸν τέρας!
Τί ἐστι θαῦμα; Χριστὸς ἵσταται μέσον
Τῶν φιλοπόνων καὶ σοφῶν ἀποστόλων,
Αὐτοὺς ἀποστέλλων γε πρὸς πᾶσαν πόλιν.
Ὢ θαῦμα φρικτὸν, καὶ τεράστιον ξένον!
Οἱ πᾶσαν τὴν γῆν προσδραμοῦντες τοῖς λόγοις.
Ἀγαλλιάσθω γηγενῶν ὅλη φύσις,
Κἀμὸν βλέπουσα πρὸς τόπον τῆς ἡμέρας,
Ἐν ᾗ προκαθίζουσιν, ὡς κριταὶ, θρόνοις
Οἱ ἐνθ' ἀποσταλέντες ἡλίου πλέον.
Βαβαὶ, βαβαὶ, δὴ καὶ γὰρ ἡ θεοῦ κρίσις
~~[illegible]~~ Κρυπτόμενον πέφυκεν, ἀψευδεῖ λόγῳ,
~~Τῇ~~ δημιουργῷ καὶ σοφῇ ~~[illegible]~~ καὶ δεσπότῃ.
Αἲ, αἲ, στενάζει, δυσμενεῖ βροτοκτόνε,
Ὁρῶν κἀμὸν στηρίζον ἱστάμενον φρενός.
Ἀλλ' ὦ βραβευταὶ τῆς βροτῶν ~~[illegible]~~ σωτηρίας,
Ὦ λευκόμορφοι, καὶ σοφοὶ, καὶ πνευματοφόροι,
Ὦ Πέτρε, Παῦλε, Ἰωάννη, Ἀνδρέα,
Ὦ Λουκᾶ, Ματθαῖέ τε, Βαρθολομαῖε,
Φίλιππε, Ἰάκωβε, Θωμᾶ, σὺν Μάρκῳ,
Ἰούδα Ἰακώβου, καὶ λοιπὴ φάλαγξ
Ἵλεως ἔσω Χριστὸς ἐν ὥρᾳ δίκης.